ζεις, ὅτι περὶ σὲ κάμνουσι, σκοπεῖν ἄρα χρὴ τί ἂν ἐκείνους εὐφρανεῖς ποιῶν; Ἡδονὴ δὲ αὐτοῖς ἁπασῶν ἡ μείζων τὸ μὴ καταπίπτειν σε ἀθυμοῦντα μηδὲ λύπης ἀμετρίᾳ καταβαπτίζεσθαι.

Ταῦτά σοι, φίλτατε Φιλόθεε, τὰ ἐμά, καί, εἴ μοι πείθῃ, χρηστῷ γε ὄντι συμβούλῳ, τὸ πολὺ μὲν ἄφες τῆς ἀθυμίας, τὸν θεὸν δὲ πάντων ἕνεκεν δόξασον, εἰδὼς τὸ τοῦ μακαρίου Παύλου, ὡς οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, καὶ ὅταν σαυτὸν ὁρᾷς ἐν αἰσθήσει, μίαν ἄπαυστον ἔχε μελέτην, τὸ Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ θεοῦ, ἐλέησόν με. Ὃς ἐλεήσαι καὶ τῆς νόσου τὸν ἐμὸν ἀπαλλάξαι Φιλόθεον χάριτι μὲν αὐτοῦ τοῦ κοινοῦ Σωτῆρος, πάντων δὲ πρεσβείᾳ τῶν ἁγίων, ὧν ἐκ ψυχῆς ὑπὲρ σοῦ δεῖται ὁ σφόδρα σε φιλῶν Θεσσαλονίκης εὐτελὴς Ἰσίδωρος.

## *3.*

### *Εἰς τὸν αὐτόν.*

Ἄνθρωπε τοῦ θεοῦ, ἀγαπητέ μοι ἐν Χριστῷ κύριε Φιλόθεε, ἔγραψα πρὸ μικροῦ ὅπερ οἶδας, ἐνόμισα δὲ ἱκανὸν ἐκεῖνο, καὶ τὸ πολὺ τῆς ἀθυμίας περιελεῖν καί σε τῆς νόσου μικρὸν ἐξελεῖν. Ἀλλ᾽ εἰ καὶ μὴ κατ᾽ ἐλπίδας ἐκεῖθεν ἐξέβη τὰ κατὰ σέ, ἀλλὰ τῇ τοῦ θεοῦ χάριτι οὐ πάντη τὰ τῶν ἐλπίδων ἀπέσβη. Νῦν γὰρ καὶ τὸ σφοδρόν, ὡς ἤκουσα, ἐλώφησε τῆς νόσου καὶ ἡ ἐπιθολοῦσα τὸ ἡγεμονικὸν αἰτία οὐκ εἰς μακρὸν παραμένει, καὶ ἡ αἴσθησις θᾶττον καὶ κάλλιον ἐπανέρχεται. Καὶ ὁ μὲν θεὸς τῇ οἰκείᾳ χρώμενος ἀγαθότητι οὕτω τὴν μάστιγα ἐλαττοῖ· σὺ δὲ τὴν ἀθυμίαν· δεδήλωται γάρ μοι καὶ τοῦτο· οὐκ ἀνακόπτεις, ἀλλ᾽ ἐπιτείνεις. Ἐχρῆν δέ σε ποιεῖν οὐχ οὕτως, ἀλλὰ κατὰ τὴν τῆς μάστιγος ἀφαίρεσιν καὶ τὴν ἀθυμίαν ἀφαιρεῖν, ἵν᾽ ἐκείνης

6. *οὐκ ἄξια* B : *οὐκάξια* OA  8. *σαυτὸν* B : *αὐτὸν* OA  *ἐν αἰσθήσει* B : *ἐναισθήσει* OA  9. *ὃς* B : *ὃ* OA  11-12. *ὑπὲρ σοῦ* BA : *ὑπερσοῦ* O

**3.** Ἐν τῇ ἐπιγραφῇ *Εἰς τὸν αὐτὸν* B : *Ἐπιστολὴ εἰς τὸν αὐτὸν* O : λείπουσιν A

15. *κύριε* BO : *κῦρ* A  17. *περιελεῖν* B : *περιελεῖν ἐκ τοῦ περιέλειν* A : *περιέλειν* O  18. *κατ᾽ ἐλπίδας* B : *κατελπίδας* OA  21. *θᾶττον* A : *θάττον* OA  22. *οὕτω* BO : *οὕτω* (διαγεγραμμένον) *οὕτω* A  23. *γάρ* BA : *γὰρ* O

24. *ἀνακόπτεις* O : *ανακόπτεις* OA

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΦ. ΠΕΤΣΙΟΣ
Επ. Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναιρεθείσης καὶ ἡ ἀθυμία συναναιρεθῇ· μᾶλλον δὲ τὸ ἀκολουθότερον τοῦτο ἦν, τὴν ἀθυμίαν πρότερον ἐλαττοῦσθαι καὶ μετὰ τοῦτο σβέννυσθαι καὶ τὴν νόσον. Τὸ μὲν γάρ ἐστιν ἐφ' ἡμῖν, λέγω δὲ τὸ στῆσαι τὴν ἀθυμίαν, ἐκεῖνο δὲ οὐχ ἡμέτερον. Ἃ δὲ ἔξεστι τῶν ἀγαθῶν, ποιούντων ἡμῶν, καὶ τὰ οὐκ ἐφ' ἡμῖν ὁ μόνος φιλάνθρωπος συνεισφέρει, εἶτα καὶ ἀποῦσαν φέρει πολλάκις ἀθυμία τὴν νόσον καὶ παροῦσαν ἐπὶ μεῖζον αἴρει. Εἰ δὲ τῆς νόσου παραίτιον ἀθυμία, ταύτην δὲ στῆσαι τῶν ἐφ' ἡμῖν, καὶ ἐπειδὰν τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ ὁ θεός, ὡς ἔφημεν, τὰ ἑαυτοῦ συνεισφέρει καὶ ἡμῖν φιλανθρώπως ἐπινεύει, τὰ οὐκ ἐφ' ἡμῖν ἀγαθὰ χαριζόμενος, ἔδει τὸ τὴν μάστιγα τῖκτον ἐξωθεῖν, ὅτι καὶ ἡμῖν δυνατόν, ἵνα τὸν πόνον φύγωμεν. Νῦν δὲ σὺ μὲν ἃ ποιεῖν ἔδει καὶ δυνατῶς ἔχεις οὐ ποιεῖς· δέον δὲ τὸν θεὸν ἀγανακτῆσαι διὰ ταῦτα καὶ τὴν νόσον ἐπιτεῖναι, ὁ δὲ μόνῃ κινούμενος ἀγαθότητι, τοὐναντίον καὶ ἵλεως γέγονε καὶ κουφοτέραν τὴν μάστιγα πεποίηκεν. Εἰ δὲ σοῦ παρορῶντος τὰ δέοντα, οὕτως ἐκεῖνος εὐμενὴς δείκνυται, τίνων οὐκ ἂν ἔτυχες δωρεῶν, τὰ δέοντα διασώζων; Ὅτι δὲ καὶ ἡ νόσος, καθὰ σοι τοῖς προτέροις δεδήλωκα γράμμασιν, ἀγαθότητος ἦν καὶ εὐμενείας, οὐκ ἀγανακτήσεως καὶ ἀπειλῆς, ἐκ τῶν παρόντων γίνεται δῆλον. Εἰ γὰρ βάρους ἦν ἐκείνη καὶ ὀργῆς, οὐδ' ἂν ἠλαττοῦτο, σοῦ μηδὲν πρὸς ἐλάττωσιν συνεργοῦντος. Ἀλλ' ὅτι φιλανθρωπίας ἦν καὶ ἐξ ὑπερβαλλούσης ἀνθ' ὧν ἐπιτείνεσθαι προσῆκεν, ἐνταῦθα μάλιστα πρὸς μείωσιν καὶ λῆξιν χωρεῖ. Ὁρᾷς ὅπως ἐκ κηδεμονίας ἡ νόσος, καὶ εἰ τὴν παρὰ σαυτοῦ συντέλειαν συνεισέφερες, τάχιστα ἂν καὶ τὴν ἴασιν εὕρισκες; Ἀλλ' ἴσως ἐρεῖς, ὅτι καὶ πῶς ἂν ἀδακρυτὶ τοσοῦτον ἐνέγκω πάθος; Γλώττης πεπέδηται διακονία, ἀκοὴ πρὸς πᾶσαν ἐκκεκώφωται φωνήν, ἐγκέφαλος σέσεισται, νοῦς οὐχ ὑγιαίνει, ὡς πρὸς ἀλλόκοτα φάσματα πολεμίου δίκην ἀνθοπλίζομαι, τῇδε κἀκεῖσε μαχόμενος καὶ διαπηδῶν ἀτάκτως. Μικρὰ ταῦτα καὶ οὐ δακρύων ἄξια; Εἰ γὰρ λίθος ἦν, εἰ γὰρ δρῦς, εἰ γὰρ ἄλλο τι τῶν ἀναισθήτων, τότε ἂν τὴν τοσαύτην εἰ-

1. τὸ ἀκολουθότερον ΒΑ : τοακολουθότερον Ο  3. γάρ Β : γὰρ ΟΑ  4-5. ποιούντων ΒΑ : ποιούντων ἐκ τοῦ ποιοῦντων Ο  5. καὶ ΒΟ : καὶ (διαγεγραμμένον) καὶ Α  6. τὴν νόσον ΒΑ : τηννόσον Ο  7. μεῖζον ΒΑ : μεῖζον Ο  8. τὰ παρ' ΒΑ : ταπαρ' Ο  10. τίκτον ΒΟΑ  12. δυνατῶς Β : δυνατὸς ΟΑ  15. σοῦ Β : σου ΟΑ  δέοντα ΒΟ : δέονται Α  εὐμενὴς ΒΑ : εὐμενῆς Ο  19. ἠλαττοῦτο Β : ἠλαττοῦτο ΟΑ  20. ἐλάττωσιν ΒΟ : ελάττωσιν Α  ἀλλ' ὅτι Β : ἀλλότι ΟΑ  22-23. παρὰ σαυτοῦ Β : παρασαυτοῦ Α  23. καὶ τὴν ΒΟ : καιτὴν Α  29. ἄλλό ΒΑ : ἄλό Ο. συνήθως δὲ καὶ ἐν τοῖς τρισὶ κώδιξιν ἄλλό  ἀναισθήτων ΒΟ : ἀναισθήτων ἐκ τοῦ ἀνεσθήτων Α  ἂν ΒΑ : ἄν Ο

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ. Δ.Ι.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

χον ἐνεγκεῖν συμφοράν. Ἀληθῆ ταῦτα, ἀγαπητέ, καὶ μέγα τὸ συμβάν, καὶ ὁ ἀντιλέγων οὐδείς, ὅτι καὶ ὀργάνων ἡ ζημία τῶν ἀναγκαίων καὶ ἄλλως τερατώδης ἡ νόσος. Ἀλλὰ τί πρὸς ταῦτα ποιεῖν χρή; Δακρύειν ἄμετρα καὶ πένθει καταβαπτίζεσθαι; Οὐδαμῶς. Εἰ μὲν γὰρ ἀντειςενεγκεῖν ἔχει τὴν ζημίαν τὰ δάκρυα, χέε πηγάς, ποταμῶν μιμείσθωσαν ῥεύματα, καί, εἴ σοι πρὸς ταῦτα συνειςφέρειν ἀνάγκη καὶ φίλου, ἄφθονον ἔδει κἀκείνους ταύτην παρέχειν τὴν χάριν, καὶ οὔτε τις εὖ φρονῶν τότε τὴν σὴν ἀνεκώλυσεν ἀμετρίαν καὶ τοὺς οὕτως ἔχοντας ἅπας ἐπῄνεσε τῶν φίλων. Ὅτε δὲ μήτε λύει τὴν τοιαύτην νόσον τὰ δάκρυα καὶ βαρυτέραν ἐργάζεται, ποῦ τῶν δακρύων ἐνταῦθα καὶ τῆς ἀμέτρου λύπης τὸ ὄφελος; Καὶ οὐκ ἀναλγητὶ φέρειν λέγω τὸ πάθος, οὐδ᾿ ὅτι δακρύεις ὅλως μέμφομαι· εἰ γὰρ ἐπὶ σοῦ τοῦτο πάσχομεν, καὶ αὐτὸς ἂν ἐπ᾿ ἄλλων ἐποίεις, πῶς ἂν τοῦτο ὑπὲρ σαυτοῦ διαφύγοις; ἀλλὰ τὴν ἀμετρίαν κωλύω, τὸ σαυτὸν ὅλον ἐκδιδόναι τῷ πένθει, τὸ τὴν τῆς αἰσθήσεως ὥραν ἐν λύπῃ καὶ δάκρυσι δαπανᾶν. Εἰ γὰρ σὺν θεῷ τῆς φύσεως πρὸς τὸ βέλτιον ἐπανιούσης καὶ τὴν παρὰ σαυτοῦ συνειςέφερες ῥοπήν, ἡ δέ ἐστι φαρμάκοις χρῆσθαι καταλλήλοις τῇ νόσῳ, ὑγιεινῇ διαίτῃ, ἀποχῇ δακρύων καὶ πένθους ἀμέτρου, τῇ πρὸς ἀδελφοὺς ὁμιλίᾳ μὴ βαρυθύμῳ καὶ πολυπενθεῖ, ἀλλὰ σταθηρᾷ καὶ συμμέτρῳ, λέγω δὲ τῇ διὰ νεύματος ἢ μέλανος, δι᾿ ὧν σοι νῦν ὁμιλεῖν ἡ νόσος συγχωρεῖ, εἰ ταῦτα τότε ἐποίεις, τάχιστα ἄν, θεοῦ καὶ τοῦτο διδόντος, τὴν προτέραν εἶδες ὑγείαν.

Ἐγὼ δέ, καὶ μή μοι τοῦ λόγου ὑπερβολὴν καταγνῷς, καὶ ἅπερ ἀφορμὴν δακρύων ἔχῃς καὶ πένθους ἀφορήτου, ὅτι γλώττης, ἀκοῆς ἐστέρησαι, ἐγκεφάλου καὶ νοὸς ὑγιοῦς καὶ ὅσα εἴρηκας ἄλλα, χαρᾶς ὑπόθεσιν ἥγημαι μάλιστα καὶ ἡδονῆς. Καὶ ὅπως ἄκουε. Οἶδας, ὅτι τῶν μαρτύρων οὐκ ὀλίγοι ἀκρωτηριασμὸν ὑπέστησαν μελῶν, καὶ οἱ μὲν πλειόνων, οἱ δὲ ἐλαττόνων. Τίνας οὖν οἴει μάλιστα χαίρειν, ὅσοι μελῶν ἀφῃρέθησαν πλειόνων ἢ οἵτινες ἐλαττόνων; τοὺς ἀφαιρεθέντας πάντως ἐρεῖς πλειόνων. Ὁ γὰρ ἅγιος Ἰάκωβος ὁ Πέρσης, ὅτε καὶ χεῖρας εἶδε κατὰ μικρὸν καὶ πόδας κατακοπέντας καὶ ὦτα καὶ γλῶτταν

2. *οὐδεὶς* BO : *οὐδεὶς ἐκ τοῦ οὐδεῖς* A *ἀναγκαίων* BO : *ἀναγκαίων ἐκ τοῦ ἀνακαίων* A 4. *οὐδαμῶς* B : *οὐδαμῶς* OA 7 *οὔτέ* BOA 8. *ἀνεκώλυσεν* BOA. Γραπτέον *ἂν ἐκώλυσεν* ; *ἔχοντας* B : *ἔχοντας* OA 9. *μήτε* BA : *μητέ* O 11. *ἀναλγητὶ* B : *ἀναλεὶ* OA 12. *ὅτι* BO : *ὅτι ἐκ τοῦ ὅτεις* A *τοῦτο* BO : *τοῦτο* (περιγεγραμμένον) *τοῦτο* A 15. *ὥραν* BO : *θύραν* A 16. *παρὰ σαυτοῦ* B : *παρασαυτοῦ* OA 21. *ἐποίεις* B : *ποίεις* OA 25. *ὑγιοῦς* BO : *ὑγιοῦς ἐκ τοῦ ὑγιοῖς* A 27. *οὐκ ὀλίγοι* BA : *οὐκολίγοι* O

καὶ ῥῖνα καὶ μόνην ἔγνω τὴν κεφαλὴν περιλειφθεῖσαν μετὰ γαστρὸς, τέρας ὅ τι καινὸν, θέαμα παράδοξον, ἄλλοις μὲν δακρύων ἄξιον, μάρτυσι δὲ καὶ τοῖς κατ᾽ ἐκείνους φιλοσοφεῖν εἰδόσι χαρᾶς πρόξενον, ὅτε τοίνυν ἑαυτὸν ἐκεῖνος τοιαῦτα εἶδε παθόντα, πολλῷ μᾶλλον ἐσκίρτα καὶ ἔχαιρε τῶν μὴ ταῦτα παθόντων. Οὐκοῦν εἰ μελῶν καὶ αὐτός καὶ ὀργάνων σωματικῶν ἐστέρησαι, ὅσῳ πλειόνων ὑπέστης στέρησιν, τοσούτῳ τοῖς μείζοσιν ἔοικας τῶν ἁγίων, καὶ ὅσῳ τὰ τῶν μειζόνων πέπονθας, τοσούτῳ καὶ χαρᾶς μείζονος παραίτια τὰ κατὰ σέ. Ἀλλ᾽ οἱ μὲν ἅγιοι, φησὶν, καὶ ἑκόντες ἔπαθον καὶ ὑπὲρ στεφάνων, ὁ δὲ Φιλόθεος καὶ ἄκων καὶ ἐγκλημάτων ἕνεκεν. Καὶ ποῦ ταῦτα ἀλλήλοις ταὐτά;

Περὶ μὲν οὖν ἑκουσίου καὶ ἀκουσίου οὐ πολύς μοι λόγος. Ἀκούσιος γὰρ ἦν καὶ ἡ τῶν ἁγίων πρὸς αγῶνας πάλη· σπανίων γὰρ ἡ πρὸς τὸ στάδιον ἐθελούσιος ὁρμή· πλὴν καὶ τὴν ἀκούσιον ἐν ἀγαθοῖς καρτερίαν οὐκ ἀποδέουσαν ὁ ἀθλοθέτης ἡγεῖται τῆς ἑκουσίου, καὶ οὐκ ἐπὶ μαρτυρίου μόνον ἔνθα νόμος μὴ πρὸς ἀγῶνας ἐθελοντὰς χωρεῖν, ἀλλὰ καὶ χρήματα· εἴ τις ἀπολωλεκὼς εὐχαρίστως φέρῃ, τῶν ἴσων τυγχάνει γερῶν τῷ τοῖς πένησιν ἑκοντὶ δεδωκότι, καὶ τοῦτο ἐν πολλοῖς ἡ χρυσὴ τοῦ Ἰωάννου διαμαρτύρεται γλῶττα. Ταῦτα καὶ περὶ τοῦ φέροντας νόει μακροθύμως τὴν ἀκούσιον νόσον. Περὶ δὲ τῶν ἐγκλημάτων ἐκεῖνο λέγω· ἡ νόσος ἢ πλημμελημάτων ἕνεκεν ἢ στεφάνων ἐνέσκηψε, καὶ εἰ μὲν ὑπὲρ στεφάνων, οὐδὲ λόγων χρεία ὅσον ἐκ τούτου χαίρειν εἰκός· εἰ δὲ πρὸς ἁμαρτημάτων ἐξάλειψιν, ὅπερ ἔφην σοι καὶ πάλιν ἐρῶ, χαίρειν, καὶ διὰ τοῦτο χρὴ, ὅτι καταδίκης ἐρρύσθης, ὅτι γεέννης ἀπηλλάγης, ὅτι μικρὸν ἐνταῦθα ταλαιπωρήσας αἰωνίων λέλυσαι βασάνων· πόσης δὲ οὐκ ἂν εἴη τοῦτο χαρᾶς ὅταν τις ἐν βεβαίῳ γένηται, ὅτι ὀδύνης ἕνεκεν προσκαίρου δεινῶν ἀπήλλακται

1. *ῥῖνα* BA : *ῥῖνα ἐκ τοῦ ῥίνα* O *περιλειφθεῖσαν* BO : *περιπεριληφθεῖσαν* A 4. *ἑαυτὸν* BO : *ἑαὐτὸν* A 5. *εἰ μελῶν* BO : *ἀμελῶν* A 6. *ἐστέρησαι* BO : *ἐστέρησας* A 9. *ἑκόντες* B : *ἐκόντες* OA 10. *ταυτά* BOA 11. *ἑκουσίου* BO : *ἑκουσίου ἐκ τοῦ ἐκουσίου* A *ἀκουσίου* BA : *ακουσίου* O 12. *ἀγῶνας* BA : *ἀγῶνας ἐκ τοῦ ἀγώνας* O 14. *ἑκουσίου* BA : *ἐκουσίου* O 15. *μὴ* BO : *καὶ* A *ἐθελοντὰς* BO : *ἐθελόντὰς* A 16. *εὐχαρίστως* BO : *εὐχαρίστω* A 17. *ἑκοντὶ* B : *ἐκοντὶ* OA 19-20. *ἐγκλημάτων* BO : *ἐγκλημάτων ἐκ τοῦ ἐκλημάτων* A 20. *ἢ* O : *ἡ* BA *πλημμελημάτων* B : *πλημμελημάτων ἐκ τοῦ πλημελημάτων* A : *πλημελημάτων* O 21. *εἰ* B : *ἡ* OA 22. *ἁμαρτημάτων* B : *ἡμαρτημάτων* OA 24 *ἀπηλλάγης* B : *ἀπαλλάγης* O : *ἀπαλλάγης τοῦ ἄνωθεν η ὄντος νεωτέρου* A 25. *πόσης* BO : *πόσης* (περιγεγραμμένον) *πόσης* A *ὅταν* BOA

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΙΩΑΝΝΙΝΑ 2006

ἀτελευτήτων, ὁ Κύριος εἴρηκεν «Εἰ ὁ ὀφθαλμός σου ὁ δεξιός, σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ καὶ μὴ ὅλον τὸ σῶμα βληθῇ εἰς γέενναν». Εἰ τοίνυν ἡ σὴ γλῶσσα καὶ ἀκοὴ καὶ ἐγκέφαλος εἰς γέενναν παραπέμψειν ἔμελλον, τούτων δὲ μικρὸν στερηθεὶς ἕξεις μὲν καὶ ταῦτα πολλῷ βελτίω, ἐκφεύξῃ δὲ καὶ γέενναν καὶ παράδεισον αὐτῆς οἰκήσεις, ποίας οὐχ ἡδονῆς καὶ τρυφῆς καὶ ἑορτῆς ταῦτα τερπνότερα; Εἰ δέ σοι λογισμὸς ἄλλος διενοχλεῖ, ὅτι τὴν μὲν νόσον ἁμαρτήματα ἔτεκεν ἀμφιβόλως, μέμφῃ δὲ σαυτόν, ὅτι μὴ θεαρέστως βεβίωκας καὶ τοῦτο ἐπιψηφίζῃ ὡς εἴπερ ἀνέγκλητος ὁ σὸς ἐτύγχανε βίος, οὐκ ἂν τοιαύτης μάστιγος ἐπειράθης, καὶ τοῦτό σοι γίνεται τῆς τῶν δακρύων αἴτιον ἀμετρίας, ἐκείνου σε ἀναμνῆσαι βούλομαι. Γέγραπται ἐν τῷ Πατερικῷ· «δύο τινὲς τοῖς αὐτοῖς περιπεσόντες ἁμαρτήμασι προσῆλθον γέροντι, καὶ ὃς ἑκατέρῳ τὸν αὐτὸν παρέσχε κανόνα· μετὰ δὲ τὴν προθεσμίαν, ἣν ὁ πατὴρ ὡρίσατο, καλεῖ καὶ ἀμφοτέρους· καὶ ἦν ὁ μὲν χαρίεις εὐθαλής, τερπνὸς τὴν θέαν, πολλὰ πολλαχόθεν χαρᾶς ὑποφαίνων χαρίσματα, ὁ δὲ σκυθρωπός, κατηφής, κατεσκληκώς, ὠχρότητος γέμων καὶ μελανίας. Ἠρώτησεν ὁ γέρων τὸν μὲν διὰ τί χαρίεις, τὸν δὲ ὅπως ἐστὶ σκυθρωπός. Καὶ ὁ μὲν ἀπεκρίνατο, ὡς ἐξ ὅτου τὸν τῆς μετανοίας ἐδεξάμην κανόνα, χαίρω ἀναλογιζόμενος ἐξ οἵων με βορβόρων ὁ θεὸς ἐλεήσας πρὸς μετάνοιαν ἐπέστρεψε καὶ ὅπως ἐκεῖ μὲν μένων κολασθήσεσθαι ἔμελλον, νῦν δέ, θεοῦ ἐλεήσαντος, τῆς κολάσεως λέλυμαι καὶ ἐκ τῆς τοιαύτης ἐννοίας, ὅτι τοσούτου τετύχηκα κέρδους οὐκ εἶχον ἀπὸ τῆς χαρᾶς ὅ τι καὶ γένωμαι. Εἶτα καὶ τὸν θεὸν οὕτω μακρόθυμον ὄντα χαίρων ἐδόξαζον καὶ τὰς τῶν ἁγίων ἀνατυπῶν ἐκ θεοῦ δωρεὰς ἀκάθεκτος ἦν τῇ χαρᾷ. Ὁ δὲ ὠχρίας ἐκεῖνος καὶ δυσειδὴς πικρῶς εἶπεν ἀεὶ τῶν ἰδίων ἐμέμνητο ἁμαρτημάτων καὶ ὅτι τὸ θεὸν ἐλύπησεν ἁμαρτήσας διηνεκῶς ἔστενε καὶ πενθῶν οὐκ ἐπαύετο, τὰ ἁμαρτήματα πρὸ ὀφθαλμῶν φέρων καὶ

3. *βληθῇ* B : *βουληθῇ* OA *γλῶσσα* B : *γλώσσα* OA 4. *τούτων* B : *τούτον* OA 6. *ἡδονῆς* B : *ἡδονῆς* OA 8. *ἁμαρτήματα* BO : *ἁμαρτήματα* ἐκ τοῦ *ἁμαρτήματα* A 10. *τοῦτο* BOA 13. *προσῆλθον* B : *προσήλθον* OA *ἑκατέρῳ* BO : *ἑκατέρῳ* ἐκ τοῦ *ἑκατέρω* A 14. *μετὰ δὲ* BO : *μεταδὲ* A *ὡρίσατο* B : *ωρίσατο* OA 16-17. *κατεσκληκὼς* B : *κατεσκληκώς* ἐκ τοῦ *κατεσκληκῶς* A : *κατεσκληκῶς* O 17. *ἠρώτησεν* B : *ἠρώτησεν* OA 18. *διατί* BOA 19. *ἐξότου* BOA 22. *τοιαύτης* BOA 23. *ἀπὸ τῆς* BA : *ἀποτῆς* O *γένωμαι* B : *γένομαι* OA 24. *ὄντα* BO : *ὄντα* A 26. *ὠχρίας* BOA 27. *ἁμαρτημάτων* BA : *ἁμαρτημάτων* O *ἁμαρτήσας* A : *ἁμαρτήσας* OA 28. *οὐκ ἐπαύετο* BA : *οὐκεπαύετο* O *ἁμαρτήματα* B : *ἁμαρτήματα* A : *ἁμαρτήματα* O

τὰς κολάσεις τῶν σφαλέντων ὡς παρούσας ἀναζωγραφῶν. Ἀπεκαλύφθη δὲ τῷ γέροντι τῆς αὐτῆς τυχεῖν καὶ ἀμφοτέρους οὐρανίου μονῆς». Καὶ αὐτὸς τοίνυν, πεφιλημένε μοι κατὰ Κύριον Φιλόθεε, ὁπωςδήποτε γέγονεν ἡ νόσος, μᾶλλον δὲ ἐξ ἁμαρτίας γεγονέναι νομίζων καὶ οὐκ ἐκ πολιτείας θεοφιλοῦς, χαῖρε, τὸν χαροπὸν ἐκεῖνον μιμούμενος, καὶ τὴν τοῦ σκυθρωποῦ ἐργασίαν οὐ τοῦ παρόντος εἶναι νόμισον καιροῦ, ἀλλ᾽ ὅταν ἡ νόσος λυθῇ· θάρρει δὲ ὅτι λυθήσεται σὺν θεῷ. Εἴτε γὰρ τοῦ φίλτρου καὶ τῆς συνεχοῦς περὶ σοῦ μερίμνης· εἰώθαμεν γὰρ τούτοις ἐν ὕπνοις προςδιαλέγεσθαι καὶ προσομιλεῖν οἷς διατελοῦμεν ἡμέρας προςκείμενοι· εἴτε ἄλλως μελλούσης ἀληθείας, ἔδοξα καθ᾽ ὕπνους ἰδεῖν τὸν καλὸν Φιλόθεον καὶ λαλοῦντα καὶ ἀκούοντα καὶ τῇ προτέρᾳ πάσῃ χρώμενον ἀνεμποδίστως διαίτῃ καὶ ὁμιλίᾳ. Ὑπέφαινε δὲ ὁ ὄνειρος γενέσθαι τὴν ἴασιν ἐξ ἐμῆς τάχα πρὸς θεὸν ἱκεσίας. Ἦν δὲ ἡ νὺξ ἐκείνου τοῦ ὀνείρατος πρὸ τῆς ἡμέρας ἐκείνης καθ᾽ ἥν σοι ἐνέτυχεν ὁ ἐμὸς ἐν Χριστῷ ἀδελφὸς κὺρ Ματθαῖος, ὅτε καὶ νεύμασιν αὐτῷ καὶ γράμμασιν ὡμίλησας ὡς ἐδύνησαι. Ἔχω εἰπεῖν ὅτι καὶ τοῖς μεγάλοις μεγάλους καὶ πρὸς συμπλοκὴν ὁ θεὸς ἀφίησι τοὺς ἀγῶνας. Σὺ δὲ οὔτε τὴν γνῶσιν μικρὸς καὶ πολυειδὴς καὶ γενναῖος ἐτύγχανες ὧν τὴν πεῖραν, καὶ διὰ τοῦτό σοι καὶ μέγας ὁ τῆς μάστιγος ἀγὼν συγκεχώρηται, ἵν᾽ ὥςπερ ὑπὲρ τοὺς ἄλλους τὰ σὰ κατορθώματα καὶ περιφανὴς ἤκουες δι᾽ ἐκεῖνα κατὰ τὸν βίον, οὕτω καὶ ἡ κατὰ σοῦ νόσος τὰς τῶν ἄλλων ὑπερβαίνει, ὡς ἂν καὶ διὰ ταύτης λαμπρότερος διαδειχθῇς. Ὥςτε χαίρειν ἀνάγκη καὶ διὰ ταῦτα. Ἀλλ᾽ ἵνα μὴ ὁ τῦφος ἐντεῦθεν ὑπερκύψῃ καὶ τὸ ὑπερήφανον, ταύτην μὲν ἄφες τὴν ὁδόν, ἐξ ἁμαρτίας δὲ μόνης πίστευε τὴν νόσον, καὶ τὸ πενθεῖν ὑπὲρ μέτρον ἀφεὶς κατ᾽ ἐκεῖνον χαῖρε τὸν χαροπὸν καὶ τὴν εὐχὴν ὥς σοι προέγραψα ἄπαυστον ἐν καρδίᾳ κίνει. Οὕτω γάρ μοι, φίλτατε Φιλόθεε, καὶ τῆς νόσου, θεοῦ βοηθοῦντος, λυθήσῃ καὶ ἀγαθῶν ἀξιωθήσῃ τῶν αἰωνίων.

Ἀμήν.

1. *παρούσας* B : *παροῦσας* OA 4. *ἐξ ἁμαρτίας* BA : *ἐξαμαρτίας* O
*νομίζων*[β] *γεγονέναι*[α] BOA 5. *ἐκ* B : *εκ* OA 11. *ἀκούοντα* BA : *ακούοντα* O
13. *ἐξ ἐμῆς* BA : *ἐξεμῆς* O 15. *ἐμὸς* B : *εμὸς* BA 19. *μάστιγος* BA :
*μάστιγος* O 21. *κατὰ σοῦ* B : *κατασοῦ* OA 21-22. *τὰς τῶν* B : *ταστῶν* OA
23. *τῦφος* B : *τύφος* OA 24. *ἐξ ἁμαρτίας* B : *ἐξαμαρτίας* OA 25. *ὑπὲρ*
*μέτρον* B : *ὑπερμέτρον* OA 26. *χαῖρε* BO : *χαῖραι* A *ὥς* B : *ὡς* OA
*προέγραψα* OA : *πρόέγραψα* B

ΙΩΑΝΝΙΝΑ 2006

## 4.

### *Εἰς τὸν αὐτόν, ἑτέρα τοῦ αὐτοῦ.*

Ἄνθρωπε τοῦ θεοῦ, ἀγαπητέ μοι ἐν Χριστῷ κῦρ Φιλόθεε· ἐδεξάμην σου τὰ γράμματα Ἰανουαρίου *, καὶ ἔγνων ὅσην ἡμῖν ὁμολογεῖς χάριν τῆς περὶ σὲ ἐπισκέψεως. Καὶ τοῦτο μέν ἐστι τῆς σῆς εὐγνωμοσύνης, ἣν ἡ καλλίστη σοι φύσις πεπλούτηκε, τὸ μὲν θεόθεν τυχοῦσα, τὸ δὲ χρόνῳ συλλέξασα καὶ πόνῳ ἀσκήσασα. Ὅθεν καὶ τὴν εὔνοιαν ἀντιδιδόναι τοῖς φιλοῦσι κατὰ Κύριον οἶδας καὶ παρ' οὗ σοι παθεῖν εὖ συνέβη, τοῦτον καθόσον σοι δυνατὸν καὶ ῥήμασιν ἀμείβῃ καὶ πράγμασι, τὴν εὐγνωμοσύνην πολλαχόθεν φιλοτίμως ἐπιδεικνύμενος. Περὶ ἡμῶν δέ, ἀγαπητέ, πληροφορήθητι, ὡς, εἴ τι προὔκειτο τῶν ἐπιπονωτάτων τῆς σῆς χάριν ἰάσεως, ἡδέως ἂν ἐκεῖνο ὑπέστημεν δυνάμενοι μόνον· οὕτω τὴν σὴν ποθοῦμεν ὑγείαν, ὥστε καὶ εἴ τι παρ' ἡμῶν ὁρᾷς ὑπὲρ σοῦ γινόμενον, μικρὸν νόμιζε πρὸς τὴν ἀφανῆ διάθεσιν. Μέγα γὰρ τὸ περὶ σὲ τρέφομεν φίλτρον κατὰ θεὸν καὶ ὡς ἄλλο τι τῶν μεγίστων διψῶμεν καὶ ἀναγκαίων τὴν σὴν ἰδεῖν ἴασιν.

Καὶ περὶ μὲν τούτου δοίη Κύριος ὅσα ἡμῖν κατ' εὐχήν· πρὸς ἃ δὲ ἡμᾶς ᾔτησας ἐκεῖνο λέγω, ὅτι θεοῦ χάριτι δύνασαι καὶ παρὰ σαυτοῦ συνιδεῖν τὸ δέον καὶ τὸ ποιητέον ἑλέσθαι, ὅσον ἔχει βαστάζειν τὸ σὸν σῶμα καὶ ἡ ψυχή, ὅτι καὶ ἀκριβέστερον ἡμῶν οἶδας τὴν νόσον ᾗ προςπαλαίεις καὶ τί καὶ μέχρι τίνος αὕτη σοι πονεῖν καὶ μελετᾶν συγχωρεῖ. Ἐρωτᾷς δέ, οἶμαι, νόμοις τῶν θείων πατέρων πειθόμενος, καλῶς ποιῶν καὶ τῆς σῆς ἀξίως καὶ παιδείας καὶ γνώσεως. Οἱ γὰρ ἱεροὶ πατέρες ἀσφαλέστερον τῶν πρὸς ἀρετὴν θεσπίζουσι τὴν ὑποταγὴν καὶ ὅρον ἀκριβῆ σωτηρίας ἡγοῦνται τὸ κόπτειν τὸ ἴδιον θέλημα. Ὅθεν

4. Ἐν τῇ ἐπιγραφῇ· *ἑτέρα τοῦ αὐτοῦ* O : *ἑτερ τοῦ αὐτοῦ* A : λείπουσι B
2. Μετὰ τὸ *ἰανουαρίου* κενὸν ἑνὸς γράμματος διὰ τὴν ἡμερομηνίαν BOA
6. *σοι* B : *σι* O : *σι* ἄνωθεν δὲ *οι* νεωτέρᾳ χειρὶ A 9. *προὔκειτο* B : *προὔκειτο* OA 10. *ἂν* B : *ἂν* OA 11. *ποθοῦμεν* BO : *ἐπιποθοῦμεν* A
13. *γάρ* BO : *γάρ* ἐκ τοῦ *γάρ* A *περὶ σὲ* BA : *περισὲ* O *τρέφομεν φίλτρον* B : *φίλτρον*[β] *τρέφομεν*[α] OA *ἄλλό* BOA 16. *ἐκεῖνο* BO : *ἐκεῖ, ἐκεῖνο* A *παρὰ σαυτοῦ* B : *παρασαυτοῦ* OA 17. *τὸ δέον* BA : *τοδέον* O *ἑλέσθαι* BO : *ἕλεσθαι* A 21. *παιδείας* BO : *παιδείας* ἐκ τοῦ *παιδήας* A



Ε.Γ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὅσα μὲν ἄν τις ποιῇ μηδενὶ χρώμενος συμβούλῳ, κἂν ἄριστα ᾖ, τοῦ ἰδίου ἤρτηται θελήματος, καὶ οὔπω δῆλον, εἰ καὶ ἀσφαλῆ τυγχάνει τὰ πραττόμενα· ὁ δὲ μετὰ βουλῆς πράττων ἀνδρῶν εἰς ἀρετὴν μεμαρτυρημένων ὑπόκειται μὲν εὐθέως καὶ τοῖς ὅροις ἐμμένει τῆς ὑποταγῆς, ἀναιρεῖ δὲ καὶ τὸ ἴδιον θέλημα καὶ οὕτω πρὸς ἀσφάλειαν ἕστηκε. Τὸ δὲ αἴτιον, ὅτι πᾶσα ἐργασία ταπεινώσεως δίχα πλάνη ἐστὶ καὶ τοῦ πονηροῦ παίγνιον. Ἐντεῦθεν ὁ μὲν βουλευόμενος τὰ ποιητέα ταπεινώσεως ἔργον ποιεῖ, ὁ δὲ μὴ οὕτω πράττων ἄδηλον εἰ συνεργὸν ἔχει καὶ τὴν ταπείνωσιν, ἧς ἀπούσης οὐδὲν γίνεται ὑγιές. Ἐπεὶ οὖν καλῶς ποιῶν καὶ τὰ δεδογμένα τοῖς πατράσι στέργων ἐρωτᾷς, μικρὸν ἄκουε καὶ παρ᾽ ἡμῶν, οὐ καινόν τι διδασκόντων καὶ ὅπερ ἀγνοεῖς, ἀλλ᾽ ὡς πειθομένων διὰ τὴν ἐντολὴν καί σε μηδ᾽ ὁτιοῦν λυπῆσαι βουλομένων. Περὶ μὲν οὖν τῆς τοῦ σώματος διαίτης, μηδὲν ἄλλο ποίει ἢ τὸ τοῖς ἰατροῖς κελευόμενον, καὶ τὴν τοῦ θεοῦ πρότερον ἐπικαλούμενος βοήθειαν ἀσμένως δέχου τὰ παρὰ τούτων διακρινόμενα, καὶ μένε τούτοις ὑπείκων ὥσπερ ἂν εἰ πνευματικῷ ὑπέκεισο πατρί. Περὶ δὲ ψυχῆς ἐργασίας, εἰ μὲν ὑγιαῖνόν σοι διετέλει τὸ σῶμα, ἕτερα ἄν σοι ποιεῖν εἰσηγούμεθα. Ὁ γὰρ ἄνθρωπος οὐκ ἐξ ὧν ἔχει μόνον κτημάτων, γεννημάτων, λέγω, βοσκημάτων, νομισμάτων καὶ ὅλων ἄλλων ἀπαρχὰς ὀφείλει προσάγειν τῷ θεῷ, ἀλλὰ καὶ ἐξ ὧν συνέστη μερῶν σωματικῶν τε καὶ ἀσωμάτων ὡς οἷόν τε ἀποδιδόναι τὴν διακονίαν ὑπόκειται τῷ δεσπότῃ. Πρὸς τοῦτο γάρ, οἶμαι, κἀκεῖνο τείνει τοῦ θεολόγου Γρηγορίου Τὸν θεὸν ἔργοις μὲν σέβου, λόγοις δὲ ὕμνει, ἐννοίᾳ δὲ τίμα. Ἔργα μὲν γὰρ εἰπὼν τὴν διὰ χειρῶν καὶ ποδῶν ἐργασίαν ἐδήλωσε θεοφιλῆ, διὰ δὲ τῶν λόγων τὴν τῆς γλώττης καὶ τῶν χειλέων ἐνέφηνεν ὑπουργίαν· ἡ δὲ ἔννοια τὴν νοερὰν παρίστησιν ἐργασίαν. Οὐκοῦν ὁ μὲν ὑγιαίνων καὶ χερσὶ καὶ ποσὶ καὶ γλώττῃ καὶ ἀκοῇ καὶ ψυχῇ καὶ νῷ τῷ θεῷ διακονεῖσθαι δίκαιος· σοὶ δὲ ἀσθενῶς ἔχοντι καὶ

1. ἂν B : ἄν OA 2. δῆλον BA : δήλον O 3. μετὰ βουλῆς BA : μεταβουλῆς O 7. πονηροῦ BO : πονηροῦ νεωτέρᾳ χειρὶ διωρθωμένον ἐκ τοῦ πονροῦ A 11. καὶ παρ᾽ BO : καιπαρ A 12. μηδ᾽ BOA λυπῆσαι BA : λυπήσαι O 13. σώματος BO : σώματος ἐκ τοῦ σῶματος A μηδὲν BO : μήδεν A ποίει BO : ποίει ἐκ τοῦ ποιεῖν A 16. περὶ δὲ B : περιδὲ OA 17. ὑγιαῖνον BOA τὸ B : τὸ ἐκ τοῦ τῶ A : τῶ O 19. λέγω βοσκημάτων, νομισμάτων B : λείπουσιν OA 20. προσάγειν BA : προσάγει O 22. κἀκεῖνο B : κακεῖνο OA 24. εἰπὼν BA : εἰπὼν ἐκ τοῦ εἰπῶν O διὰ χειρῶν B : διαχειρῶν OA 27. ἀκοῇ BA : ἀκοῇ ἐκ τοῦ ἀκοὴ O 28. νῷ BA : νόῳ O ἀσθενῶς BA : ασθενῶς ἐκ τοῦ ἀσθενὼς O

μεθ᾿ ὑπερβολῆς πόνον οὐδένα προτρέπομεν σωματικόν, νοερῶς δὲ τὸν θεὸν ὡς δυνατὸν θεραπεύειν. Ἀλλ᾿ ἵνα μὴ τὸ μέγα βάρος ὃ σε κατέχει τῆς νόσου ἀλόγιστά τινα ἀνατυποῦν καὶ ψυχοβλαβῆ σοι διενοχλῇ, ταῦτά σοι δεῖν ἔγνων προϋποτιθέναι. Πρόνοιαν εἶναι πρῶτον τῶν καθ᾿ ἡμᾶς ἔφορον πεῖθε βεβαίως τε στέργειν τὸν σὸν λογισμόν. Ἔστω δέ σοι τὸ πεῖθον τὰ εὐαγγελικὰ ἐκεῖνα ῥήματα «Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν. Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί» καὶ ἡ τοῦ μεγάλου Βασιλείου φωνή, οὐδὲν ἀπρονόητον κηρύττουσα οὐδὲ ἠμελημένον παρὰ τῷ θεῷ «Πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμός, πᾶσι πάρεστι νέμων ἑκάστῳ τὰ πρὸς σωτηρίαν». Τούτοις κάτεχε τοῖς ῥήμασι πρὸς ἀλυσιτελῆ ποτε ἀναπλάσματα τὸν λογισμὸν χωροῦντα, πρόνοιαν δὲ ἡμῖν ἐπιστατεῖν πληροφορούμενος καὶ συμφερόντως ἄγεσθαι παρ᾿ αὐτῆς δόξαζε τὰ καθ᾿ ἡμᾶς. Οὐδεὶς γάρ φησιν ὁ θεῖος Χρυσόστομος ἑαυτοῦ φείδεται ὡς πάντων ἡμῶν ὁ θεός. Πολλῷ γὰρ ἡμῶν αὐτὸς βούλεται μᾶλλον μηδὲν ἡμᾶς πάσχειν κακόν. Ἡ γὰρ θεία πρόνοια, ἄλλος τις ἔφησε, κοινῶς ἁπάντων πρὸς ὠφέλειαν προνοεῖται, τὰ δὲ ἐπιγινόμενα φθαρτικὰ ἑπόμενά ἐστι τῇ τῆς ὕλης ἀσθενείᾳ, πρὸς τὸ λυσιτελὲς ἐκχωρούμενα. Καὶ οὕτω μὲν περὶ προνοίας ἀκλόνητον ἔχε τὴν ἔννοιαν· ἔπειτα ἐλπίδα τίθει ὡςπερεὶ διά τε τὴν πιέζουσάν σε νόσον καὶ τῆς μελλούσης ἕνεκεν μισθαποδοσίας. Εἰ γάρ τις καὶ ὅτι πρόνοιά ἐστι δοξάζει καὶ ὅτι συμφερόντως τὰ παρ᾿ αὐτῆς, μὴ ἐλπίζῃ δὲ εἰς πέρας λήγειν τὰ γινόμενα χρηστόν, κἂν δυνηθείη διαφυγεῖν ἀθυμίαν, λυπηροῖς συμπεσών, οἷον ὑποθώμεθα σαφηνείας ἕνεκεν βασιλεὺς εἱρκτῇ κατεκλείσθη καὶ ἔπεισεν ἑαυτὸν ὅτι καὶ παρὰ τῆς προνοίας καὶ ἐπὶ συμφέροντι, οἴεται δὲ συμφέρον, ὅτι, εἰ ἔξω δε-

3. *διενοχλῇ* B : *διὐνοχλῇ* OA 4. *προϋποτιθένα*. BA : *προυποτιθέναι* O *τῶν* B : λείπει OA 5. *τε* B : λείπει OA 6-7. *ἀσσαρίου* BA : *ἀσαρίου* O 7. *αὐτῶν* B : *αυτῶν* OA 8. *ἠριθμημέναι* B : *ἠριθμημέναι* OA 9. *οὐδὲν* BA : *οὐδένα* O 10. *ἀκοίμητος* BA : *ακοίμητος* O 11. *ἑκάστῳ* B : *ἑκάστω* OA 13. *πρόνοιαν* BO : *πρόνοιαν* ἐκ τοῦ *πρόνιαν* A 14. *οὐδείς* B : *οὐδεῖς* OA | *φησιν* BO : *φησι* ἐκ τοῦ *φισι* A 16. *πάσχειν* BO *πάσχειν* ἐκ τοῦ *πᾶσχειν* A 17. *ἄλλός* BOA *ἁπάντων* B : *ἀπάντων* OA *ὠφέλειαν* BO : *ὠφέλειαν* O 18. *ἑπόμενά* BA : *ἐπόμενά* O 21 [καὶ κατωτέρω]. *ἕνεκεν* B : *ἕνεκεν* OA 23. *τὰ γινόμενα* BA : *ταγινόμενα* O 24. *συμπεσὼν* B : *συμπεσῶν* OA *ὑποθώμεθα* BA : *ὑποθώμεθα* O *σαφηνείας* BO : *σαφηνείας* A 25. *ἑαυτὸν* B : *αὐτὸν* OA *καὶ* B : λείπει OA 26. *εἰ* B : *οἱ* A : λείπει O

σμῶν ἔμενεν ἢ ἄλλους ἂν ἐφόνευεν ἢ παρ' ἑτέρων ἐφονεύετο· εἰ οὖν τοῦτο μόνον ἡγεῖται συμφέρον, οὐκ ἐλπίζει δὲ ἢ τῆς φυλακῆς ἀπαλλαγὴν ἢ μόνιμον ἄλλο τι συμφέρον, οὐδ' ἂν εὐχερῶς διαφύγοι τὴν ἀθυμίαν. Χρὴ τοίνυν καὶ πρόνοιαν δοξάζειν καὶ συμφερόντως γίνεσθαι τὰ γινόμενα καὶ ἐλπίδα ἔχειν εἰς ἀγαθὸν τελευτᾶν τὰ παρόντα. Καὶ αὐτὸς οὖν, ἀγαπητέ, μετὰ τὴν τῆς προνοίας μελέτην καὶ τοῦ συμφέροντος σκόπει καὶ τὴν ἐλπίδα, καί, ἐπειδάν σε τὸ σφοδρὸν διαταράττῃ τῆς νόσου, μὴ ἀπελπίσῃς τὴν ὑγείαν, μεμνημένος τοῦ Θεολόγου φάσκοντος «Μήτε ἀθυμῶν ἀπελπίσῃς εὐημερίαν, μήτε καλῶς πράττων ἀθυμίαν. Εἷς ἐνιαυτὸς τέσσαρας ὥρας ἔχει καὶ μία ῥοπὴ πολλὰς πραγμάτων μεταβολάς». Καὶ ὁ Σιρὰχ Ἐμβλέψατέ, φησιν εἰς τὰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἤλπισεν ἐπὶ Κύριον καὶ κατῃσχύνθη ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ὑπερεῖδεν αὐτόν; Εἰ δὲ καὶ ἀνέλπιστον ὁ λογισμὸς ὑποβάλλει τὴν ἴασιν, ἀλλὰ σὺ τὸ μέλλον ἀντίθες «ὡς οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, καὶ ὅτι πᾶσα παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν. Αὕτη δύναται ἡ ἐλπὶς τὴν ἀθυμίαν κουφίσαι καὶ τὴν ψυχὴν ἐκ λύπης εἰς τέρψιν μεταποιῆσαι καὶ οὕτω πρὸς τὸν γλυκύτατον Ἰησοῦν τὴν διάνοιαν ἀναβιβάσαι καὶ μετὰ τοῦτο τὴν καρδίαν παρασκευάσαι πλήρη γενέσθαι χαρᾶς, ὡς ἐκ τῆς τοιαύτης μελέτης τὸν χαρᾶς ἁπάσης αἴτιον ὑποδεχομένην. Ἀλλὰ καὶ μετὰ τὴν ἐλπίδα ὑπομονῆς, ἀδελφέ, χρεία. Ὁ γὰρ ἐλπίζων, εἰ μήτε τοῦ λυποῦντος φέρει τὰς ὀδύνας γενναίως καὶ πρὸς τὴν τοῦ ἐλπιζομένου παράτασιν δυσχεραίνει, σβέννυσι καὶ τὴν ἀπὸ τῆς ἐλπίδος χαρὰν καὶ εἰς ἀθυμίας ἐμπίπτει. Διὰ τοῦτο καὶ ὁ Ἀπόστολος εἴρηκεν «Εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα». Παραινεῖ δὲ ὁ θεῖος Ἰάκωβος καὶ τοῦτο, ὅτι «Ὑπόδειγμα λάβετε τῆς κακοπαθείας

2. *ἢ* BA : *ἡ* O 3. *οὐδ'* BA : *οὐδ* O 6. *προνοίας* BA : *πονοίας* O *τοῦ* BA : *του* O 7. *ἐλπίδα* BA : *ελπίδα* O 10. *εἷς* BO : *εἰς* A *ἔχει* BO : *λείπει* A *ῥοπὴ* O : *ῥοπῇ* BA 11. *ἐμβλέψατέ* O : *ἐμβλέψατε* B : *ἐμβλέψατέ με* A 12. *καὶ ἴδετε* BO : *ἴδετε* A 13. *ἀνέλπιστον* BO : *ανέλπιστον* A 14. *ἀντίθες* B : *ἀντίθ'* O : *ἀντίθ μένοντος κενοῦ δύο γραμμάτων* A *οὐκ ἄξια* BA : *οὐκάξια* O 17. *αὐτῆς* BO : *αὐτῆς ἐκ τοῦ αὐτοῖς* A 18. *γεγυμνασμένοις* B : *γεγυμνασμένοι* OA *ἐλπὶς* BA : *ελπὶς* O 19. *μεταποιῆσαι* BO : *μεταποιῆσαι ἐκ τοῦ μεταποιῆσαι* A 24. *ὀδύνας* BO : *ὀδύνας* A 24-25. *παράτασιν* BO : *παράστασιν* A 26. *διατοῦτο—εἴρηκεν* BA : *λείπουσιν* O

καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε». Καὶ ὁ Χριστὸς ἐν Εὐαγγελίοις «Ἐν τῇ ὑπομονῇ ὑμῶν, φησί, κτήσασθε τὰς ψυχὰς ὑμῶν». Εἰ δέ τις εἴποι, ὅτι τὸ προσμένειν τοῖς ἀγαθοῖς καὶ ἐπὶ μακρὸν τὰ τοιαῦτα μακροθύμως ἐργάζεσθαι τοῦτο ἀντεισφέρει τὰς θείας εὐεργεσίας, ἀλλ' οὐ τὸ ὑπομένειν τὰ λυπηρά, ἄκουσον τί φησιν ὁ θεῖος Χρυσόστομος «Οὐ τὸ ποιῆσαί τι χρηστὸν μόνον, ἀλλὰ καὶ τὸ παθεῖν τι κακὸν πολλὰς ἔχει τὰς ἀμοιβάς». Καὶ δείκνυσιν ὁ Ἰώβ, ἀπὸ τῶν παθημάτων μᾶλλον ἢ ἀπὸ τῶν κατορθωμάτων εὐδοκιμήσας. Ἄλλως τε καὶ τὸ μὲν ὑπομένειν τὰ ἀλγεινὰ ἀνδρός ἐστιν ἐχέφρονος, τὸ δὲ μικροψυχεῖν κούφου καὶ ἀσθενοῦς τὴν διάνοιαν. Διὰ τοῦτο καὶ ὁ μακάριος εἴρηκε Νεῖλος, ὅτι τὸ ὀλιγωρεῖν καὶ μὴ θέλειν ὑπομένειν συμφορᾶς μεγάλης καὶ ποικίλης ἀφροσύνης ἴδιον. Εἶπε δέ τις καὶ τῶν σοφῶν «Μὴ ζήτει γίνεσθαι τὰ γινόμενα ὡς θέλεις, ἀλλὰ θέλε ὡς ἂν τὰ γινόμενα γίνηται, εἰς ταὐτὸ φέρον ἐκείνῳ τῷ τοῦ μεγάλου Βασιλείου «Ὡς θέλει τὸ φέρον σε φέρειν φέρου, ἢν δ' ἀπειθήσῃς, καὶ σαυτὸν βλάψεις καὶ τὸ φέρον σε φέρει»· καὶ ὁ ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ παράλυτος, εἰ μὴ τὸν μακρὸν ἐκεῖνον ὑπέμεινε χρόνον, οὐκ ἂν τῆς παραδόξου τετύχηκεν ἰάσεως».

Ἔνθεν τοίνυν, ἀγαπητέ, ταῦτα βεβαίωσον τῇ σῇ διανοίᾳ, ἵν' ἐπαναλαβὼν εἴπω, ὅτι πρόνοιά ἐστι καὶ συμφερόντως ἄγουσα πάντα καὶ ὅτι ἐλπίζειν δεῖ καὶ ὑπομένειν ἐν ἅπασι. Μετὰ τοῦτο οὐδὲν ἄλλο σε ποιεῖν παραινοῦμεν ἢ προσεύχεσθαι ὅτε δύνασαι καὶ ὅσον. Καὶ γὰρ οὐχ ὑγιαίνουσι μόνον, ἀλλὰ καὶ τοῖς ὁπωσδήποτε ταλαιπωροῦσι τοῦτο παραινεῖ ὁ θεῖος Ἀπόστολος «Κακοπαθεῖ τις ἐν ὑμῖν, λέγων, προσευχέσθω». Ἀλλὰ καὶ ὁ Χρυσόστομος «Καλόν φησι πάντοτε διὰ προσευχῆς

1. *ἐλάλησαν* BA : *ἐλάλησαν* O *ὀνόματι* BO : *ὀνόματι* A 3. *εὐαγγελίοις* BO : *ευαγγελίοις* A 4. *τῇ* BO : *τη* A *κτήσασθε* BO : *κτήσασθε* ἐκ τοῦ *κτήσασθαι* A *ψυχὰς* BA : *ψυχᾶς* O 7. *χρυσόστομος* B : *χρησόστομος* OA 8. *ποιῆσαί* O : *ποιῆσαι* BA *τι* O : *τί* B : *τι* A *τί* BOA *κακὸν* BA : *κακον* O 9. *ἔχει* BA : *ἔχεις* O *ἀπὸ τῶν* B : *ἀποτῶν* OA 9-10. *μᾶλλον* - *κατορθωμάτων* B : λείπουσιν OA 11. *κούφου* BO : *κούφου* ἐκ τοῦ *κοῦφον* A 12. *ἀσθενοῦς* BA : *ασθενοῦς* O 15. *γίνηται* BO : *γίνεται* A 16. *ταὐτὸ* BOA 17. *ἀπειθήσῃς* B : *ἀπαθήσῃς* OA 19. *ἐκεῖνον* B : *ἐκείνον* OA 21. *τοίνυν* BO : *τοίνυν* ἐκ τοῦ *τόνυν* A *βεβαίωσον* BO : *βεβαίως* A *ἵν'* BO : *ἵν* A 22. *ἐπαναλαβὼν* BA : *ἐπαναλαβὼν* ἐκ τοῦ *ἐπαναλαβῶν* O 27. *χρυσόστομος* B : *χρησόστομος* OA *καλόν* BO : *καλὸν* ἐκ τοῦ *καλὸν* A *διὰ προσευχῆς* B : *διαπροσευχῆς* OA

ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ... Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁμιλεῖν τῷ θεῷ. Εἰ γὰρ συντυχία ἀνδρὸς ἀγαθοῦ βελτιοῖ τὸν ἐντυγχάνοντα, πόσῳ μᾶλλον τὸ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ προςομιλεῖν τῷ θεῷ. Λέγει δὲ καὶ ὁ θεῖος Νεῖλος· «Ὥςπερ τὰ στρουθία διὰ τῆς τῶν πτερῶν κινήσεως μετάρσια γίνεται, οὕτω καὶ ὁ θεοσεβὴς ἄνθρωπος ἀπὸ τῶν ἐπιγείων πρὸς τὰ οὐράνια διὰ προςευχῶν μετατίθησιν ἑαυτόν». Καὶ ἀλλαχοῦ ὁ αὐτός· «Ὥςπερ τὸ ἀναπνεῖν οὐδέποτε ἄκαιρον, οὕτως οὔτε τὸ αἰτεῖσθαι παρὰ Κυρίου αἰτήματα μυστικὰ μέχρις ἐσχάτης ἀναπνοῆς». Καὶ ὁ Θεολόγος «Μνημονευτέον θεοῦ μᾶλλον ἢ ἀναπνευστέον». Καὶ ἄλλος τις ἔφη σοφὸς «Οἱ ἄνθρωποι τότε γίνονται ὅμοιοι θεῷ, ὅταν τὸ εὐεργετεῖν καὶ ἀληθεύειν παρῇ, βελτίονες δὲ ὅταν αὐτῷ προςέρχωνται δι᾽ εὐχῆς». Ἀναγίνωσκε οὖν μικρόν, ὅταν ὁ νοῦς σου διακεχυμένος ᾖ. Ἔστω δὲ ἡ ἀνάγνωσις ἐκ τῶν περὶ ἡσυχίας καὶ εὐχῆς. Συναχθέντος δέ σου τοῦ νοῦ, εὔχου, εἰ δυνατόν, διηνεκῶς ἐν τῷ βάθει τῆς καρδίας σου, ἀκινήτων ὁλοσχερῶς μενόντων καὶ τῶν χειλέων σου, τὸ Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ θεοῦ, ἐλέησόν με, καὶ τοῦτο ποίει ἀντὶ πάσης ἄλλης ἐργασίας ὁσάκις δύνασαι· πρὸ δὲ τῆς εὐχῆς δόξαζε τὸν θεόν, εὐχαριστίας ἀναφέρων αὐτῷ ἀφ᾽ ὧν ἂν δυνηθῇς, μάλιστα τῶν εὐεργεσιῶν ἕνεκεν ὧν ἡμῖν ἐν τῷ βίῳ τούτῳ δωρεῖται καὶ ἐν τῷ μέλλοντι ταμιεύει. Ἔχεις ὑπόθεσιν εὐχαριστίας, εἰ βούλει, καὶ ἀπὸ τῆς σῆς νόσου, εἴπερ ἐκεῖνο ἐνθυμηθῇς ὅ φησιν ὁ Θεολόγος, ὡς βέλτιον εἶναι νῦν παιδευθῆναι καὶ καθαρθῆναι ἢ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι, ἡνίκα κολάσεως καιρός, οὐ καθάρσεως. Λέγει δὲ καὶ ὁ θεῖος Χρυσόστομος «Οἱ πολλὰ πταίοντες καὶ μὴ κολαζόμενοι φοβεῖσθαι καὶ δεδοικέναι ὀφείλουσιν· αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας διὰ τῆς ἀτιμωρησίας καὶ τῆς μακροθυμίας τοῦ θεοῦ», καὶ ὁ ἅγιος Διονύσιος «Οὐ τὸ κολάζεσθαι ἐνταῦθα κακόν, ἀλλὰ τὸ ἄξιον τῆς ἐκεῖσε γενέσθαι κολάσεως». Ὥςτε τῇ νόσῳ μαστιζόμενος ἐνταῦθα

3. *τὰ στρουθία* BO : *ταστρουθία* A 4. *πτερῶν* B : *πτερωῶν* OA *θεοσεβὴς* B : *θεοσεβῆς* OA 5. *ἀπὸ τῶν* BO : *ἀποτῶν* A *διὰ προςευχῶν* B : *διαπροςευχῶν* OA 6. *αὐτός* B : *αυτός* OA 7. *οὔτε* B : *οὔτε* OA *παρὰ κυρίου* B : *παρακυρίου* A : *παρακύ* O 9. *ἄλλός* BOA 12. *ἀνάγνωσις* B : *ανάγνωσις* OA 14. *καὶ* BO : λείπει A 15. *ἰησοῦ — θεοῦ* ἐν τῷ κειμένῳ BO : πρόςθετα ἐν τῇ ὤᾳ διὰ παραπομπῆς ⸭ A 16. *πρὸ* BA : *προ* O 18. *ἕνεκεν* BA : *ἕνεκεν* O *τούτῳ* BA : *τούτω* ἐκ τοῦ *τούτῳ* O 20. *ἀπὸ τῆς* BA : *ἀποτῆς* O 21-22. *ἢ — παραπεμφθῆναι* BA : λείπουσιν O 23. *οἱ* BO : *οἱ* A 24. *ὀφείλουσιν* BA : *ὀφείλουσιν* O *αὐτοῖς τὰ τῆς* B : *αὐτῆς ταῆς* OA 25. *ἀτιμωρησίας* BO : *ἀτιμωρησίας* ἐκ τοῦ *ἀτημωρησίας* A 27. *τῇ* BO : *καὶ* (διαγεγραμμένον) *τῇ* A *μαστιζόμενος* BO : *μαστιζόμενος* ἐκ τοῦ *μαστηζόμενος* A

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΚΑΙ ΒΑΘΜΙΑΙΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Γ.Δ.Τ.Π.Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χαίρειν ὀφείλεις καὶ δοξάζειν τὸν θεὸν, ὅτι διὰ τῆς προσκαίρου μάστιγος τῆς μενούσης δυνήσῃ ῥυσθῆναι καὶ τέρψιν ἀντιλαβεῖν.

Δόξαζε οὖν καὶ πρὸ τῆς εὐχῆς καὶ τοῦ εὔχεσθαι παυόμενος τὸν θεὸν καὶ σπούδαζε προσοικειοῦν ἑαυτὸν καὶ προσκολλᾶν τῷ θεῷ ἐξ ἀγαπητικῆς διαθέσεως καὶ μὴ ἐκ λυπηρᾶς, ἵν' οὕτως ὑγιαίνῃ μὲν ἡ ψυχὴ, ἐπανέλθῃ δὲ σὺν θεῷ καὶ πρὸς εὐεξίαν τὸ σῶμα, ἐπειδὴ καὶ τῆς ψυχῆς μὲν κελευόμεθα φροντίζειν, ἀλλὰ μὴ καὶ τοῦ σώματος ἀμελεῖν. Διὸ καί τις ἔφη τῶν ἔξω «Τῆς μὲν ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ, τοῦ δὲ σώματος ὡς στρατιώτου προνοοῦ». Ἄλλως τε, εἰ τὸ ζητούμενόν ἐστιν οἰκειωθῆναι θεῷ, τοῦτο δὲ εὑρεῖν ἔξεστιν ἔκ τε χαροποιοῦ διαθέσεως καὶ ἀνιαρᾶς, διὰ τί μὴ τὸ γλυκύτερον καὶ βέλτιον αἱρετέον; Ὥσπερ γὰρ, εἰ προὔκειτο ἰατρῷ τοῖς γλυκέσι θεραπεῦσαι τὸν νοσοῦντα φαρμάκοις, οὐκ ἔδει χρήσασθαι τοῖς πικροῖς, οὕτω κἀνταῦθα, ἐξὸν διὰ δοξολογίας χαροποιοῦ ψυχὴν ἰατρεῦσαι, περιττὸν μεμνῆσθαι τῶν ἀλγεινῶν. Ταῦτα δὲ οὐ πᾶσιν ἁρμόττειν λέγομεν, ἀλλά τισι μὲν ταῦτα, καθάπερ καὶ σοί, ἄλλοις δὲ ἕτερα· τοῖς γὰρ αὐτοῖς φαρμάκοις ἅπαντας χρῆσθαι οὐκ ἀσφαλές. Ὥσπερ γὰρ καλὸν τὸ θεολογεῖν, οὐ παισὶ δὲ τοῦτο προτρέπομεν, οὐδὲ τοῖς ἀμυήτοις τὰ θεῖα ἢ τοῖς ἐλαφροῖς τὴν διάνοιαν, οὕτω καὶ ἐπὶ τούτων. Σὺ οὖν, ἀγαπητὲ ἀδελφέ, καὶ μετὰ τεσσαράκοντα ἡμέρας κοινώνει τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων, δὶς δὲ κοινώνησον τῇ ἁγίᾳ Τεσσαρακοστῇ. Ἔχε καὶ μίαν ἄπαυστον, εἰ δυνατόν, ἐργασίαν, τὸ εὔχεσθαι καὶ δοξολογεῖν χαίρων, ὡς εἴπομεν, τὸν θεόν, οὗ ἡ χάρις εἴη μετὰ τῆς ἀγάπης σου. Ταῦτά σοι στέλλομεν, πεφιλημένε μοι κατὰ Κύριον Φιλόθεε, τῇ τε πνευματικῇ φιλίᾳ πειθόμενοι διὰ τὸ σὸν θέλημα καὶ τὴν ἐκ τῆς παρακοῆς εὐθύνην φυλαττόμενοι.

1. *ὀφείλεις* B : *ὀφείλεις* OA *δοξάζειν* B : *δόξαζε* OA 7. *τῆς* B : λείπει OA *σώματος* BO : *σώματος ἐκ τοῦ σώματος* A 9-10. *ζητούμενόν* B : *ζητούμενον* OA 10. *εὑρεῖν* BA : *εὑρεῖν* O 11. *ἀνιαρᾶς* B : *ανιαρᾶς* OA *διατί* BOA 12. *θεραπεῦσαι* B : *θεραπεύσαι* OA 15. *οὐ* B : *ου* OA 15-16. *ἀλλά τισί* BOA 17. *ὥσπερ* O : *ὥσπέρ* B : *ὥπέρ* A 18. *τὰ θεῖα* BO : *ταθεῖα* A 20. *τεσσαράκοντα ἡμέρας* BA : *τεσσαράκοντα ἡμέάκοντα ἡμέρας* O 23. *χαίρων* BO : *χαίρων ἐκ τοῦ χαῖρων* A 25. *πειθόμενοι* BA : *ποιθόμενοι* A

## 5.

### *Τοῦ αὐτοῦ ἑτέρα ἐπιστολὴ εἰς τὸν Παλαιῶν Πατρῶν.*

Πανιερώτατε μητροπολῖτα Παλαιῶν Πατρῶν, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Ἀχαΐας, ἐμοὶ δὲ ἐν Χριστῷ θειότατε, σεβασμιώτατε, τριπόθητε πάτερ, δέσποτα, ἀδελφὲ καὶ συλλειτουργέ, πέποιθα τῷ παναγάθῳ θεῷ ὑγιαίνειν τὴν μεγίστην ἁγιωσύνην σου καὶ κατὰ τὸ πανίερον αὐτῆς σκῆνος πρὸς δόξαν θεοῦ καὶ ὠφέλειαν τῶν ἐντυγχανόντων τῇ σῇ θειότητι καὶ δεομένων τῶν παρ᾽ αὐτῆς ἁγιαστικῶν φωνῶν τε καὶ πράξεων. Ὑγιαίνομεν καὶ ἡμεῖς ταῖς σαῖς θεοπειθέσιν εὐχαῖς ἕως νῦν, θεοῦ ἐλεοῦντος, μετρίως.

Γραφὴν τῆς σῆς ἁγιότητος ἐδεξάμεθα Νοεμβρίου ιθ΄, ἀφ᾽ ἧς ἥσθημέν τε ὁμοῦ καὶ ἠνιάθημεν, τὸ μὲν διὰ τὸ τοῦ πλοὸς ἄπονόν τε καὶ ἄλυπον, ὅτι τὴν φίλην ἐμοὶ καὶ ἱερὰν κεφαλὴν κατ᾽ οὐδὲν ὁ πλοῦς παρελύπησε, καὶ ἄλλως ὅτι καὶ γράμμασιν αὐτῆς ἐνετύχομεν καθ᾽ ὑπερβολὴν ἡμῖν φιλουμένοις, τὸ δὲ διὰ τὴν τῶν αὐτόθι πραγμάτων ἀνωμαλίαν τε καὶ δυσχέρειαν καὶ ἔτι τὴν ἐνσκήψασαν τῷ σῷ ἱερῷ σώματι νόσον, ἣν ἡμῖν ἐμήνυε τὰ σὰ τίμια γράμματα. Ἀλλὰ περὶ τῶν ἀνιαρῶν δὴ τούτων, ὦ δέσποτα. ἐκ μέσης ἐμοὶ φιλούμενε τῆς ψυχῆς, οὔτε ἀμέτρως λυπεῖσθαι χρὴ καὶ δοξάζειν τὸν τοιαύταις ἐπιφοραῖς περιπίπτειν ἡμᾶς συγχωροῦντα. Ἅπαντα γάρ, ὡς ἀκριβέστερον οἶδεν ἡ σὴ θειότης, ἐπὶ συμφέροντι θεόθεν τελεῖται τὰ καθ᾽ ἡμᾶς, καὶ τὰ μὲν λυποῦντα κοινῇ κοινὴν ἐπάγει καὶ τὴν ὠφέλειαν, τὰ δὲ ἰδίᾳ ἴδιον ὡσαύτως τίκτει καὶ τὸν καρπόν. Ὁ γὰρ ἄνθρωπος ἔοικε χρυσῷ. Ὥσπερ οὖν ὁ χρυσός, ῥύπῳ συμμιγεὶς διὰ πυρὸς τὴν κάθαρσιν δέχεται, οὕτω καὶ ὁ ἄνθρωπος οὐ δύναται λαμπρυνθῆναι πειρασμῶν δίχα. Καὶ ἕως μὲν ἔμενεν ὁ ἄνθρωπος ἁμαρτίας ἄγευστος, οὐδὲ καθαρσίων ἐδεῖτο· ὅτε δὲ διολισθήσας τοῖς ῥύποις συνεκυλίσθη, τότε καὶ τῆς καθάρσεως ἐδεήθη. Κάθαρσις δὲ πικρίας καὶ λύπης χωρὶς ῥᾳδίως οὐ

5. Ἐν τῇ ἐπιγραφῇ *Τοῦ αὐτοῦ ἑτέρα — πατρῶν* O : *τοῦ αὐτοῦ ἑτερ — πατρῶν* B : λείπουσι A

5. *ὠφέλειαν* BO : *ὀφέλειαν* ἐκ τοῦ *ὀφέλειαν* A 7. *ἡμεῖς* BA : *ημεῖς* O 11. *ἱερὰν* BO : *ἰερὰν* A 12-13. *καθυπερβολὴν* BOA 15. *τίμια* BO : *ἱερὰ* A 17. *οὔτε* B : *οὐτε* OA 18. *Ἅπαντα* B : *ἅπαντα* OA 24. *ἕως μὲν* BA : λείπουσιν O *ἁμαρτίας* B : *ἀμαρτίας* OA 25. *ῥύποις* B : *ρυποις* OA 26. *ῥᾳδίως* B : *ραδίως* OA

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πέφυκε γίνεσθαι, καί, καθάπερ ὁ θάνατος μετὰ τὸν ὄλισθον ἐκ φιλανθρωπίας προήχθη· γίνεται γάρ φησι φιλανθρωπία ἡ τιμωρία· οὕτως ἐκ τῆς ἴσης φιλανθρωπίας, ἐπειδὴ πεπτώκαμεν, πειρασμοῖς καὶ ἀνιαροῖς προσπαλαίομεν. Οἷον γάρ τι χωνείας ἐργαστήριον τῷ βίῳ τούτῳ δέδοται τὰ λυπηρά, καὶ ὁ μὲν τῷ χωνευτηρίῳ προσριφεὶς δύναται καθαρθῆναι, ὁ δὲ μὴ τυχὼν τῆς χωνείας ἄχρηστος μένει διὰ τὸν ῥύπον. Οὐκοῦν μακάριος ὁ τῇ καθαρτικῇ χωνείᾳ τοῖς ἀλγεινοῖς καὶ πειρασμοῖς περιπεσών. Καὶ εἰ μέν τις ἑαυτὸν ἄμικτον ἔχει δεῖξαι παντὸς μολυσμοῦ δυσχεραινέτω τοῖς λυπηροῖς ἐταζόμενος, εἰ δ' ἐκεῖνο ἀδύνατον· ἀδύνατον γάρ φησιν ἄνθρωπον ἀπὸ ῥύπου καθαρεύειν, κἂν μία ἡμέρα ᾖ ἡ ζωὴ αὐτοῦ, οὐδὲ δυσχεραίνειν χρὴ διὰ τὰ λυποῦντα, ἀλλ' εὐχαριστεῖν ὑπὲρ τούτων μᾶλλον ἀνάγκη, ἅτε δὴ παραιτίων ὄντων καθάρσεως, ἐπεὶ δὴ καὶ τὸν καταπατοῦντα τὸ ἱμάτιον καὶ συντρίβοντα καὶ πιέζοντα διὰ κάθαρσιν οὐ μισοῦμεν, ἀλλὰ φιλοῦμεν, καὶ ἰατρὸν φάρμακα χορηγοῦντα πικρὰ δι' ὑγείαν εὐεργέτην νομίζομεν. Εἰ γὰρ μὴ νῦν διὰ τῶν λυπηρῶν καθαρθείημεν, ἀφόρητον ἕξομεν τὴν ὀδύνην, ἐπειδὰν ἐκεῖ διὰ τὸ ῥερυπωμένον τοῦτο ἔνδυμα ἔξω τῆς χαρᾶς διωκόμενοι ἀκούσωμεν Πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ἔπειτα καὶ οἱ πρὸ ἡμῶν ἅγιοι καὶ οἱ καθ' ἡμᾶς δίκαιοι οὐκ ἄλλως λάμπουσι καὶ μακαρίζονται ἢ ὅτι πειρασμοὺς ἐκαρτέρησαν ἢ ἑκουσίους ἢ ἀκουσίους. Ὁ μὲν γὰρ ἐνταῦθα τὰ λυποῦντα βαστάσας εὑρήσει τρυφὴν αἰωνίαν, ὁ δὲ τῶν ἐπιπόνων ἄγευστος οὐδὲ τὴν χαρὰν ὄψεται τὴν μένουσαν, ἐπεὶ καὶ γεωργὸς καὶ καῦμα φέρων καὶ ψῦχος ἔχει μετ' ὀλίγον χαρῆναι διὰ τοὺς καρπούς, ὁ δὲ τοὺς πόνους φεύγων ἐκείνους στενάζει καὶ λιμῷ πολλάκις διαφθείρεται. Ἀλλὰ περὶ μὲν τούτων μακρὰ πρὸς τὴν σὴν ἀγχίνοιαν διαλέγεσθαι παραπλήσιόν ἐστιν, ὥσπερ ἂν

1. *μετὰ τὸν* BO : *μετατὸν* A 2. *γάρ φησι* B : *γάρ φησιν* OA 3-4. *ἀνιαροῖς* B : *ἀνάροις* OA 5. *προσριφεὶς* B : *πρόσριφεὶς* OA 6. *τυχὼν* B : *τυχὼν ἐκ τοῦ τεχῶν* OA 6-7. *ῥύπον* B : *ῥύπον* OA 7. *ὁ τῇ* B : *ὅτι* OA *καθαρτικῇ* BO : *καθαρτικὴ* παραδιορθωμένον ὠχροτέρῳ μέλανι εἰς *καθαρτικῇ* A 9. *ἐταζόμενος* BO : *ἐξεταζόμενος* A 10. *ἀδύνατον· ἀδύνατον* B : *ἀδύνατον* OA *ἄνθρωπον* ἐν τῷ κειμένῳ OA : *ἄνον* πρόσθετον ἄνωθεν B *ἀπὸ* A : *ἀπο* O : *τοῦ ἀπὸ* B *ῥύπου* B : *ῥύπου* OA 11. *ἡ* BO : *ἡ* διαγεγραμμένον A 12. *τούτων* BO : *τούτων* ἐκ τοῦ *τοῦτον* A *ὄντων* BA : λείπει O 12. *δὴ* BOA 14. *πιέζοντα διὰ κάθαρσιν* B : *πιάζοντα διακάθαρσιν* OA 16. *ἀφόρητον* BO : *ἀφόρητοι* A 20. *πειρασμοὺς* BO : *πειρασμοῖς* A 21. *μενταῦθα* BOA *εὑρήσει* B : *εὑρήσει* OA 22. *τὴν* BA : *την* O 23. *ψύχος* B : *ψῦχος* OA 23-24. *μετολίγον* BOA 26. *παραπλήσιον* BO : *παραπλήσιον* ἐκ τοῦ *παραπλησίον* A

Ε.Υ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἴ τις μὴ τὴν ἰατρικὴν ἐξησκηκὼς τὸν ἄριστον ἰατρὸν περὶ φαρμάκων καὶ νόσων ἐδίδασκεν· ἀλλὰ καὶ ἅπερ εἶπον ὑπομνήσεως ἔφην χάριν, τῇ σῇ καὶ πρὸς τοῦτο πειθόμενος ἐπιταγῇ. Πάντα γὰρ ὑπακούειν ἕτοιμος ἐγὼ τῶν σῶν φιλοθέων ἐπιταγμάτων.

Τὰ δ' ἐνταῦθα συμφορᾶς καὶ δακρύων ἀνάμεστα. Πρὸ μηνῶν γὰρ ἤδη τριῶν λοιμώδης ἐπισχεθεῖσα νόσος τὴν νεαρὰν κατεβόσκετο ἡλικίαν, καὶ ἦν ἰδεῖν μητέρα μήπω τὸ ἴδιον βρέφος τῷ τάφῳ καλύψασαν καὶ ἄλλου τὴν ἐκφορὰν ποιουμένην, ἐνίοτε καὶ δύο παῖδας ἅμα ἑνὶ παραπέμπουσαν τάφῳ, καὶ συνέβαινε τὴν πολύτεκνον εἰς πολύπονον τῇ στερήσει τῶν παίδων καθίστασθαι, ὡς ἐντεῦθεν τὴν ἀτεκνίαν μακαρίζεσθαι καὶ τὰς στείρας. Εἶτα τὸ δεινὸν αὐξηθὲν κατὰ πάσης ἤδη χωρεῖ τῆς ἡλικίας, καὶ παῖδες καὶ νεανίσκοι καὶ γέροντες ἐλεεινῶς ἀνάρπαστοι γίνονται, καὶ ἴδοις ἂν πολυάνθρωπον οἰκίαν ἄοικον τῷ θανάτῳ τῶν οἰκούντων, καὶ ὅποι τις ἂν μεταβῇ τῆς πόλεως ἢ νεκρὸν ἐκφερόμενον ὁρᾷ ἢ ἐκ τάφου στρεφομένους ἀνθρώπους καὶ θρηνοῦντας ἕτερον ὡς μετ' ὀλίγον τεθνηξόμενον, ὡς εἶναι μικροῦ πᾶν τὸ τῇδε γόον, θρῆνον, δάκρυα, ὀδυρμὸν καὶ εἴ τι τοιοῦτον. Ἔνθεν καὶ πάντων καθήψατο τὸ πικρὸν καὶ ἡμῶν, ὡς πολλοὺς ἕως νῦν στερηθέντων γνησίων καὶ φίλων.

Καὶ τὰ μὲν κοινὰ τοιαῦτα, τὰ δὲ καθ' ἡμᾶς μένει ὡς οἶδεν αὐτὰ ἡ σὴ θειότης. Καθήμεθα σὺν θεῷ εἰρηνικῶς ἐν τῷ κελλίῳ, δι' ἃ δὲ οὐκ ἀγνοεῖ ἡ μεγάλη ἁγιωσύνη σου παραβάλλομεν εἰς τὸ πατριαρχεῖον σπανίως, ὁπόταν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, μηνύσῃ δι' ἀναγκαίας χρείας ἢ ἐπισήμους ἑορτάς. Ἄλλως γὰρ ἑκόντες οὐ παραβάλλομεν διὰ τὰ προγεγονότα. Τούτου δὲ οὕτω τελουμένου, ἔχομεν ἕως νῦν θεοῦ βουλομένου μετὰ πάντων τὸ ἀσκανδάλιστον. Ἀξιοῦμεν οὖν ἵνα καὶ ἡμῶν ὑπερεύχῃ, ἁγιώτατε δέσποτα, ὡς ἂν καὶ εἰς τὸ ἑξῆς κατὰ τὸ πανάγιον τοῦ Κυρίου θέλημα μένωμεν εἰρηνεύοντες. Ἅπερ ὥριζες σολοικοβαρβαρώδη Μούσης ἦν ἀξιολόγου πλήρη καὶ ἰύγγων γέμοντα πνευματικῶν καὶ ἡμῖν λίαν ἐπέραστα. Μὴ παύσῃ τοίνυν οὕτω τοὺς σοὺς φίλους εὐφραίνων καὶ

4. *φιλοθέων* B : *φιλόθεον* O : *φιλόθεν* A  6. *λοιμώδης ἐπισχεθεῖσα* B : *λοιμώδη ἐπιχεθεῖσα* OA  9. *τάφῳ* BO : λείπει A  14. *τις* B : *τίς* O : *τῆς* A  15. *καὶ* BA : *ἢ* O  15-16. *θρηνοῦντας* BO : *θρηνοῦντας ἢ θρηνοῦντας* A  16. *μετολίγον* BOA  17. *δάκρυα* BO : *δάκρυαι* A  *ὀδυρμὸν* BA : *ὀδυρμὸν* A  20. *τὰ δὲ* B : *ταδὲ* A  26. *νῦν ἐν τῷ κειμένῳ* OA : *νῦν πρόςθετον* ἄνωθεν B  28. *τὸ ἑξῆς* OA : *τοεξῆς* B  30. *ἰύγγων* BO : *ἰύγγων ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾤᾳ χειρὶ νεωτέρᾳ Φράγκου sen συρίγγων* A

Ε.Υ.Δ. τ.ΙΣΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀττικίζων, ὡς αὐτὸς φαίην ἄν, τῷ πνεύματι, ἀλλ' οὐ σολοικίζων.

Αἱ ἅγιαι εὐχαὶ τῆς σῆς ἁγιότητος εἴησαν μεθ' ἡμῶν, καὶ ἀξιωθείημεν ἀλλήλους ἰδεῖν ὡς ὁ θεὸς ἀποδέχεται.

## 6.

### *Τῷ ἁγιωτάτῳ καὶ τιμιωτάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κυρῷ Δοσιθέῳ τῷ Καραντηνῷ.*

Ὁσιώτατε, σεβασμιώτατε, τιμιώτατε ἐν ἱερομονάχοις καὶ πνευματικοῖς, ἐν Χριστῷ πεφιλημένε μοι πάτερ καὶ ἀδελφέ, δέομαι τοῦ φιλανθρώπου θεοῦ ὑγιαίνειν τὴν ἁγιωσύνην σου ἐφ' ἅπασιν. Ὑγιαίνομεν καὶ ἡμεῖς ἕως νῦν ἐλέῳ θεοῦ.

Γραφήν σου γραφεῖσαν αὐτόθι Ἰουλίου ιδ' ἐδεξάμην Σεπτεμβρίου ιδ'. Ἅπερ οὖν ἐκείνη ἐμπεριείληπται, εἰ καὶ δακνηρὰ ἦν, ἀλλ' ἡμῖν οὐκ ἔδοξε τοιαῦτα, ὅτι καὶ φίλος ἦν ὁ πέμπων ἐκεῖνα καὶ οἷος πλήττειν οὐδέποτε μεμελέτηκεν, ἀλλ' ἐπανορθοῦν καὶ ἰᾶσθαι. Ἀνιαρὸν δὲ πῶς ἂν εἴη παρὰ τοιούτου, περὶ οὗ τοιαῦτα ψηφίζεταί τις καὶ ὅτι τὸ δάκνον οὕτως, οἶμαι, λέγεται δάκνον, ἐπειδὰν ἀνίαν ἐμποιήσῃ τῷ ψαύσαντι; Ἀνιᾶται δέ τις οἷς ἑαυτῷ περιπεπτωκότι σύνοιδε λοιδορούμενος· τὸν γὰρ μὴ τὸν πόδα πηρὸν ἢ τὸν ὀφθαλμὸν εἴ τις πήρωσιν διαβάλλοι, οὐδ' ὁτιοῦν ἄν, οἶμαι, φανείη λυπῶν. Διὰ ταῦτα οὐχ ὡς δάκνουσι τοῖς σοῖς ἐνετύχομεν γράμμασιν. Ὡς μὲν γὰρ τῶν φίλων αὐτὸς καὶ οἷον ἔφημεν, πόνος οὐδεὶς πρὸς ἀπόδειξιν. Μαρτυρήσουσι γὰρ ὅσοι τὸν ἱερὸν Δοσίθεον ἴσασιν· ἴσασι δὲ ὅσοι μηδὲ ἀριθμηθῆναι ῥᾴδιον. Ὃ δ' ὡς βέλος ἢ ἔγκλημα, εἴ γε βούλει, τοῖς φιλικοῖς ἐδόκει γράμμασιν ἐγκεῖσθαι, τοῦτ' ἦν, ὅτι φεύγομεν ἑκόντες ὃν ποιμαίνειν

3. *ἰδεῖν* BO : *ἰδεῖν* ἐκ τοῦ *ἠδεῖν* A     *ὁ* B : λείπει OA

6. Ἐν τῇ ἐπιγραφῇ *Τῷ ὁσιωτάτῳ — καραντηνῷ* B : *τῷ τιμιωτάτῳ — καραντηνῷ* O : *τῷ ὁσιωτάτῳ καὶ τιμιωτάτῳ ἐν ἱερομονάχοις κυρίῳ δοσιθέῳ τῷ καραντηνῷ* ἐρυθρά, προστέθεινται δὲ διὰ μέλανος κατόπιν τοῦ *κυρίῳ* αἱ λέξεις *καὶ πνικῆς* καὶ ἐγγὺς ἡ διόρθωσις *κοῖς* A

11. *μεμελέτηκεν* B : *μ[με]ελέτηκεν* τῶν ἄνωθεν *μέ* γεγραμμένων χειρὶ νεωτέρᾳ A ; *μελέτηκεν* O     *ἰᾶσθαι* B : *ἴασθαι* OA     13. *οὕτω; — δάκνον* BO : *οὕτως — δάκνον* δὶς A     16. *ὁτιοῦν* O : *ὅτιοῦν* BA     *διὰ ταῦτα* B : *διαταῦτα* OA

21. *ὃν* B : *ὃ* A     *ποιμαίνειν* B : *ποιμένειν* OA

ἐλάχομεν κλῆρον. Εἰ τοίνυν ἄκοντες ἄλλοθι προςδεδέμεθα, οὐχ ὑπεύθυνοι διὰ τοὔγκλημα. Καὶ τίς ὅπως ἄκοντες ἡ ἀπόδειξις; Ἡ τῶν ἀγωγίμων, ἐγὼ νομίζω, παρασκευή, τὸ πρὸς ὑμᾶς ἀφῖχθαι διὰ ταῦτα τὸν ἐμὸν ἀδελφόν, οὐ τὴν διάζευξιν εἰ μή τι τῶν ἀπαραιτήτων, ἴστε δὲ τοῦτο, οὐδέν με πείθει παθεῖν, ἡ πρὸ τούτων οὐ μετρία δαπάνη καὶ φροντίς, ἵν᾽ ὑπὲρ τῆς ὑμετέρας ὡς ὑμᾶς ἐπανόδου ὅρκοις πιστὰ παρὰ τῶν κρατούντων γραμματεῖα προβῇ, ὧν ὑπουργὸς ὁ ἐκ Νεστέγκων Λάσκαρις ἐκεῖνος ἐτύγχανεν ὁ καλός, ἄλλα δῶρα οὐ μικρὰ καὶ αὐτὰ τήν γε μὴν ἡμετέραν ἐλέγχοντα δύναμιν καὶ δουλικὴ παρ᾽ ἡμῶν ἑκούσιος γοῦν ἔντευξις καὶ προςκύνησις, ὅτε τοῦ κράτους ὁ τὰ δεύτερα φέρων μετὰ τὸν μέγαν ἐπέβη τῆς Κωνσταντίνου, συχνὴ ἡμῶν ἄλλη περὶ τὰ βασίλεια διατριβὴ καὶ ταῦτα τίνων; οἷς εἴπερ τι τῶν ἀηδῶν ἐκεῖ παραβάλλειν καὶ τῆς κέλλης μὴ προϊέναι πολλῶν ἥδιον, ἵνα τί γένηται; ἵν᾽ ἰδεῖν ἡμᾶς Θεσσαλονίκην συγχωρηθῇ.

Ἆρ᾽ οὖν ἅπαντα ταῦτα μάτην ἡμῖν ἐτελεῖτο; καὶ εἰ μὴ μάτην, πῶς γάρ, εἰ μὴ παραπαίομεν, τί ἂν ἄλλο πρὸς τὴν ἐπάνοδον ἡμᾶς ἐπέσχεν ἢ ἀκούσιος ὡς εἰπεῖν κάθειρξις, ἣν φωνὴ πεποίηκε βασιλέως, οὐ τῷ δέει τῆς βασιλικῆς ἐξουσίας, ἀλλὰ τῷ κράτει τῆς ἱερᾶς τῶν πατέρων ψήφου, οἳ περὶ ἡμῶν ἐκεῖνα ἐχρησμοδότησαν «Εἴ τις ἐπίσκοπος μήτε νόσῳ μήτε βασιλικῷ ἢ πατριαρχικῷ κελεύσματι κατεχόμενος ὑπὲρ ἑξαμηνιαῖον χρόνον τῆς ἰδίας ἀποδημεῖ ποίμνης, τῆς τοῦ ἐπισκόπου τιμῆς καὶ ἀξίας παντελῶς ἀλλοτριούσθω». Εἰ τοίνυν τοῦ βασιλέως μένειν κελεύσαντος τὴν εἰς ὑμᾶς ἐτρέχομεν, παρορῶντες τὸν ὅρον, ποῦ κατ᾽ ἂν ἦν ὁ ζητούμενος ὑμῖν ἐπίσκοπος; Συναπώλετο γὰρ ἂν πάντως τῇ τοῦ κανόνος παραβάσει καὶ εἰς κενὸν ὅ τε πόνος ἔληγεν ἅπας καὶ ἡ ἐπάνοδος. Εἰ δὲ μὴ τούτοις πείθομεν, ῥήματα γὰρ ἐρεῖς ταῦτα τοῦ φεύγοντος ἴσως, ἵνα πολλοὺς ἐάσω τῶν πολιτῶν, οἱ ἐκ Θεσσαλονίκης Τζιμισχῆς ὁ καλός, Κληματικός, Ῥωσωτᾶς καὶ ἄλλοι, εἴ τις αὐτοῖς πνευματικὸν ἐπισείσειε βάρος, μαρτυρή-

6. *ὑπὲρ τῆς* B : *ὑπερτῆς* OA  *ὅρκοις* BA : *ὅκοις* O  6-7. *παρὰ τῶν* B : *παρατῶν* OA  7. *γραμματεῖα* B : *γραμματεῖα* ἐκ τοῦ *γράμματα* (;) A  9. *γε* BO : *τε* O  9-10. *ἑκούσιος* B : *ἑκούσιος* A : *ἑκουσίας* O  10. *προςκύνησις* B : *προςκύνησης* A : *προσκύνησης* O  11. *μέγαν* BO : *μέγάν* A  12. *ταῦτα* B : *ταύτα* OA  *εἴπερ* BOA  *ἀηδῶν* BO : *ἀνδρῶν* ἐκ τοῦ *ἀνδῶν* διὰ μεταγενεστέρας προςθήκης τοῦ *ρ* A  15. *μὴ* BO : *μὴ* ἐκ τοῦ *μοι* (;) A  16. *εἰ* B : *ἢ* OA  17. *ἀκούσιος* B : *ἀκουσίος* OA  21. *ἑξαμηνιαῖον* BA : *ἑξαμηναῖον* O  24. *ποῦ* B : *ποῦ* ἐκ τοῦ *πού* A  25. *ὅτε* A : *ὅ,τε* B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σουσι παρ᾽ ὧν ὧδε βεβαίαν ἔσχον τὴν πίστιν. Τοῦτο δὴ τἀληθές, ἄκοντας ἡμᾶς ἐνταῦθα καθῆσθαι. Οὐκοῦν, ἕως ἂν οὐχ ἑκόντες οὐχ ὁρῶμεν τὴν ποίμνην, λελῦσθαί τις ἡμᾶς ἀδέκαστα ψηφιεῖται καὶ τῶν ἐγκλημάτων ἐκείνων. Ἀλλ᾽ εἰ μὴ τοῦτο δοκεῖ τοῖς πολλοῖς, προσκόπτουσι δὲ καὶ τὰ ἡμέτερα διασύρουσι καὶ πλανῶνται πρὸς τὴν ἀλήθειαν, ἐγὼ μὲν ἐκεῖνο καὶ αὖθις ἐρῶ, ὡς οὐχ ἁπλῶς ἔγκλημα τὸ κατηγορεῖσθαι, ἀλλ᾽ εἰ καὶ τἀληθὲς πρόσεστιν· ὅτε γὰρ καὶ τὸ συνειδὸς καὶ πολλοὺς ἔχομεν ἔξωθεν ἄλλους πρὸς τὴν δίκην ἱσταμένους, μικρὸν ἂν ἐκεῖθεν ἡμῖν τὸ δάκνον γένοιτο καὶ μάλιστα ὅτ᾽ ἐλπίς, σὺν θεῷ δ᾽ εἰρήσθω, ἔκδηλον μετὰ μικρὸν καὶ τοῖς πλανηθεῖσιν ὅ φαμεν ἐλεγχθῆναι.

Ὑπὲρ δὲ τῶν πλανωμένων καὶ τὰ μὴ ὄντα διαθρυλούντων δέδοικα τὴν θείαν ὀργήν. Ὡς γὰρ οὗτος ἂν ἡμᾶς ὁ φόβος κατέσειεν, εἰ ἀληθὲς ἐκεῖνο τὸ καθ᾽ ἡμῶν ἐτύγχανεν ἔγκλημα, οὕτω κατὰ τῶν διαβαλλόντων ταῦτα προσδοκᾶν ἔπεισιν. Ἀλλὰ μὴ γένοιτο, φιλανθρωπότατε βασιλεῦ, μὴ ἂν ἕνα μηδένα τοῦ ἐμοῦ κλήρου τῆς σῆς ὀργῆς πειραθῆναι, χαρίτων δὲ μᾶλλον πάντας ἐνθάδε καὶ τερπνῶν σῶν τῶν ἐκεῖθεν. Σὺ δ᾽ ὦ φίλη μοι κεφαλή, εἰ μὲν τῶν προτέρων ἕνεκεν, τὰ δὲ ὅτι φυγὴν πολλάκις αὐτόθι μένοντες ἐκηρύξαμεν καὶ πεποιήκαμεν, προσκόπτειν φὴς τοὺς πολλούς, οὐκ ἂν ἀρνηθείην. Πέπρακται γάρ, καὶ εἰ μὴ σφαλερῶς, δικάσει θεός. Περιττὸν γὰρ περὶ τούτου πολλὰ λέγειν, ὅτι πείθομεν ἡμᾶς αὐτοὺς ἀνεύθυνον εἶναι κἀκεῖνο. Εἰ δὲ τῶν ὑστέρων, ὅτι, πολλάκις ἐπάνοδον μηνύσαντες, οὔπω καὶ τήμερον εἰς ἔργον ταύτην ἐδείξαμεν, οὐδεὶς ἂν ἐμοὶ δοκεῖν ὅτῳ μέλει τῆς ἀληθείας ἡμῶν ὑπὲρ τούτων καταψηφίσαιτο, ἀλλ᾽ ὥσπερ διὰ τὴν φυγὴν ἀληθὲς ἦν ἐκεῖνο τὸ κήρυγμα καὶ πίστις ἡ ἔκβασις, οὕτως ὁ τῆς ἐπανόδου λόγος ἀληθείας καὶ οὗτος μεστός· καὶ μήπω μεμαρτύρηκεν ἔργον· τῆς γὰρ αὐτῆς καὶ ἀμφότερα πηγῆς.

Πίστευε τοίνυν ἐνδοιασμοῦ παντὸς δίχα τὰ παρ᾽ ἡμῶν· πρὸς τούτῳ καὶ τοὺς σειομένους ἐν τούτοις στήριζε, καὶ εἴ που μὴ τὰ ἔργα τοῖς ῥήμασι σύμφωνα, ἄλλο τι νόμιζε τῆς διαφωνίας καὶ μὴ τὴν ἡμετέραν αἴτιον γνώμην. Εὔχου καὶ πρό γε πάντων ὅσα τῶν παραιτίων σκαν-

1. *πίστιν* **BO** : *πίστιν ἐκ τοῦ πίστην* **A** *τοῦτο* **BO** : *τούτο* **A** *τἀληθὲς* **BA** : *ταληθὲς* **O** 3. *λελῦσθαί* **BOA** 10. *μεταμικρὸν* **BOA** *ὅ φαμὲν* **BOA** 11. *διαθρυλλούντων* **BOA** 14. *ἔπεισιν* **OA** : *ἔπεισα* **B** 17. *ἕνεκεν* **B** : *ἕνεκεν* **OA** 20. *περὶ τούτου* **B** : *περιτούτου* **OA** 23. *μέλει* **OA** : *μέλλει* **B** 24. *τούτων* **BO** : *τούτων ἐκ τοῦ τούτου* **A** *ὥσπερ* **B** : *ὥσπερ* **OA** 26. *λόγος* **BO** : *λόγος κατὰ διόρθωσιν τῇ αὐτῇ χειρὶ ἐκ λέξεως ἀδιαγνώστου* **A** 29. *τὰ* **BA** : *τα* **O** 30. *ἄλλό* **BOA**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δάλου λυθῆναι κατὰ θεὸν καὶ τὰ καθ' ἡμᾶς ὡς αὐτῷ φίλον διαδειχθῆναι· οὗ ἡ χάρις εἴη μετὰ τῆς ἀγάπης σου.

## 7.

### *Τοῦ αὐτοῦ ἐπιστολὴ*

### *Εἰς τοὺς Θεσσαλονικεῖς ἀπὸ τῆς Κωνσταντινουπόλεως.*

Οἱ ἐν τῇ θεοσώστῳ καὶ περιφανεῖ πόλει Θεσσαλονίκῃ εὐγενέστατοι ἄρχοντες, ὅσοι τοῦ πρώτου γένους καὶ τῆς ἐνδόξου καὶ λαμπροτάτης φυλῆς καὶ ὅσοι τοῦ ἱερατικοῦ καὶ μοναχικοῦ καταλόγου καὶ ὅσοι τῆς σεμνῆς καὶ περιδόξου πολιτείας καὶ ὅσοι τοῦ ἰδιωτικοῦ συστήματος καὶ ὁ λοιπὸς ἅπας τοῦ Κυρίου λαὸς ὁ χριστώνυμος, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην, ἔλεος καὶ ἄλλο πᾶν ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται ὑμῖν ἅπασιν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος.

Προέγραψα τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι μετὰ μικρὸν ἐπανελεύσομαι, θεοῦ βουλομένου· ὃ καὶ γενέσθαι ἔμελλεν, εἰ μή τις ἡμᾶς ἀρτίως ἐκώλυσεν αἰτία, μὴ δυνατῶς ἔχουσα παροφθῆναι. Ἀλλ' εἰ καὶ μὴ κατὰ τὸ παρὸν τοῦτο δὴ τὸ ἐπανελθεῖν ἐγένετο, ἀλλ' ἔσται μετ' ὀλίγον θεοῦ συνεργοῦντος. Ἡμεῖς οὖν εἰ καὶ μὴ παρόντες τῶν συμβαινόντων ὑμῖν ἐκ τοῦ πολέμου κοινωνοῦμεν ἀνιαρῶν, ἀλλ' οὐδὲν ἧττον ἀλγοῦμεν καὶ τὴν ψυχὴν καὶ τὰ σπλάγχνα δακνόμεθα ἑκάστου τὴν παρ' ὑμῶν πικρίαν ἰδίαν ἡγούμενοι καὶ οὕτω πάσχοντες τῇ μνήμῃ τῶν συμπιπτόντων ὑμῖν καθ' ἑκάστην ἀηδῶν, ὥσπερ εἰ καθ' ἡμῶν αὐτῶν τὰ τῶν πολεμίων ἐδεχόμεθα βέλη. Εἰ γὰρ ἐπὶ τῶν σαρκικῶν πατέρων εὕροι τις ἂν οὐκ ὀλίγους αἱρουμένους τὰς προκειμένας τοῖς παισὶ βασάνους προθύμως ἐφ' ἑαυτῶν ἀναδέχεσθαι, ἵνα τοῖς τέκνοις πολλαχόθεν τὸ

3. τῇ ΒΟ : τη Α 5. καταλόγου ΒΟ : κατὰ λόγου Α 6. πολιτείας Β : πολιτείας κατὰ διόρθωσιν γραμμάτων τινῶν ἀδιαγνώστων Ο : πολιτείας ἐκ τοῦ πολητείας Α 7. ἅπας Β : ἄπας ΟΑ 11 (καὶ κατωτέρω). μεταμικρὸν ΒΟΑ 14. μετ' ὀλίγον ΒΟ : μετολίγον Α 16. ἀνιαρῶν ΒΑ : ἀνιάρων Ο ἧττον ΒΟ : ἧττον ἧττον Α 17. σπλάγχνα ΒΟ : σπλάγχνα ἐκ τοῦ σπάγχνα Α ἑκάστου ΒΑ : ἐκάστου Ο 19 (καὶ κατωτέρω). καθεκάστην ΒΟΑ ἀηδῶν Β : ἀνδρῶν ΟΑ 21. τις Ο : τίς ΒΑ οὐκ ὀλίγους ΒΑ : οὐκολίγους Ο

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ.τ.Π. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006